

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

13/ BK
A 2151-2

ΒΙΒΛΙΟΘΗΚΗ
ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΙΩΑΝΝΙΝΩΝ
026000298077

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΒΙΒΛΙΟ
ΕΥΛΟΓΙΟΥ Κ ΥΡΙΛΑ
ΛΑΥΡΙΩΤΟΥ
ΑΥΞΩΝ ΑΡΙΘ.

ΣΥΛΛΟΓΗ' ΔΙΑΦΟ'ΡΩΝ

# ἈΚΟΛΟΥΘΙΩΝ,

ΚΑΙ' Ε'ΥΧΩΝ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Αρ. εισ. 130885

# ΣΥΛΛΟΓΗ

## ΔΙΑΦΟΡΩΝ ΑΚΟΛΟΥΘΙΩΝ, ΚΑΙ ΕΥΧΩΝ

ΕΚ

## ΔΙΑΦΟΡΩΝ ΣΥΓΓΡΑΜΜΑΤΩΝ

ΤΑΝΥΝ

Πρῶτον τύποις ἐκδοθεῖσα, καὶ μεθ' ὅ,τι πλείστης τῆς ἐπιμελείας διορθωθεῖσα,

ΠΑΡΑ ΚΥΡΙΟΥ

ΑΛΕΞΑΝΔΡΟΥ ΚΑΓΓΕΛΛΑΡΙΟΥ.

Ἥτις καὶ Ἐπικέκληται,

ΤΟΜΟΣ ΔΕΥΤΕΡΟΣ.

ΒΙΒΛΙΟΘΗΚΗ
ΚΥΡΙΛ
ΛΑΤΡΙΩΤΟΥ
ΩΝ ΑΡΙΘ.

ΕΝΕΤΙΗΣΙ. κατὰ τὸ, αψκη. Ἔτος.

Παρὰ Νικολάῳ Γλυκεῖ τῷ ἐξ Ἰωαννίνων.

CON LICENZA DE' SUPERIORI, E PRIVILEGIO.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΕΡΜΗΝΕΙΑ

## ΚΑΙ ΑΚΟΛΟΥΘΙΑ

Εἰς ἐγκαίνια Ναοῦ κατὰ τὴν ἔκδοσιν τὴν ἐν Βουκουρεστίῳ τῆς Οὐγγροβλαχίας τὴν κατὰ τὸ, αψγ'. ἔτος.

## ΕΡΜΗΝΕΙΑ ΠΑΝΤΩΝ ΤΩΝ ΕΙΔΩΝ ΤΟΥ ΕΓΚΑΙΝΙΑΣΜΟΥ.

Ὀφείλει τοιγαροῦν ὁ ταχθεὶς Ἀρχιερεὺς εἰς τὸν ἐγκαινιασμὸν, νὰ προστάξῃ νὰ προετοιμασθοῦν τὰ διάφορα εἴδη, ὁποῦ εἶναι διατεταγμένα εἰς ἀπαρτισμὸν, καὶ συμπλήρωσιν τῆς καθιερώσεως, καὶ τοῦ ἐγκαινιασμοῦ. τὰ ὁποῖα εἰσὶ ταῦτα.

Κηρίον καθαρὸν, δράμια τετρακόσια.

Μαστίχη
Σμύρνα
Ἀλόη
Θυμίαμα
Ῥετζίνη, καὶ
Λάδανος.
} ἀνὰ δράμια εἴκοσι τὸ καθέν.

Χύτραι καιναὶ, ἤγουν τζουκάλια καινούργια δύο.

Χαρτία ἱκανά.

Σχοινίον λεπτὸν ἱκανόν.

Μάρμαρον τετριμμένον πολλὰ ψιλὸν, λίτρα μία.

Λείψανα ἁγίων μαρτύρων. καὶ Θήκη μικρὰ ἀργυρᾶ.

ΕΥΛΟΓΙΟΥ ... ΛΑΥΡΙΩΤΟΥ ΑΡΙΘ.

Ἅγιον

Α'γιον μῦρον.
Σάβανον λινὸν πήχ. δέκα.
Μανδύλια καινὰ δύο.
Νίτρα λευκὰ, ἤγουν μαρμαροσάπουνα τέσσαρα.
Σπόγγος καινὸς, ἤγουν σφουγγάρι καινούργιον ἕνα.
Υ'φάσματα λινὰ τετράκοχα τέσσαρα. τὰ ὁποῖα τίθενται εἰς τὰς τέσσαρας γωνίας τῆς ἁγίας Τραπέζης κατὰ τὸν τύπον τῶν ἱερῶν Εὐαγγελιστῶν, τοὺς τέσσαρας Εὐαγγελιστὰς τετυπωμένους ἔχοντα, ἢ μόνα τὰ ὀνόματα αὐτῶν. ἢ ἀντὶ τούτων. χαρτία τέσσαρα ἔχοντα γεγραμμένα τὰ τῶν Εὐαγγελιστῶν ὀνόματα.
Βικίον Οἰνάνθης, ἢ Ρ'οδοστάμου, ἢ οἴνου πλῆρες:~
Κατασάρκιον τῆς ἁγίας Τραπέζης κατὰ τὸ μῆκος αὐτῆς, ἐκ λινοῦ ὑφάσματος, παρηρτημένους ἔχον εἰς τὰς τέσσαρας ἄκρας σχοίνους λεπτούς:~
Α'ντιμίνσια ὅσα τῷ ἀρχιερεῖ δόξει. καὶ
Κανδήλα καινή:~

Ε'ρμηνεία καὶ ἀκολουθία εἰς ἐγκαίνια Ναοῦ.

Πρὸ τοῦ παραγενέσθαι τὸν ἀρχιερέα ἐν τῷ μέλλοντι ἐγκαινίζεσθαι ναῷ, προπέμπεται ὁ Οἰκονόμος τῶν χειροτονιῶν, καὶ θεωρεῖ τὴν ἁγίαν τράπεζαν, καὶ ὅλα τὰ ἔνδον τοῦ Ναοῦ εἰ καλῶς ἡτοίμασται:~

Τῇ δὲ ἐρχομένῃ ἑσπέρᾳ ἀπέρχεται ὁ ἀρχιερεὺς μετὰ τοῦ Κλήρου εἰς τὸν νέον Ναὸν, καὶ καταρτίζει ὄπισθεν τῆς ἁγίας Τραπέζης τὰ ἅγια λείψανα εἰς μερίδας τρεῖς. καὶ τεθέντων τούτων ἔνδον τοῦ Δισκαρίου, καὶ ἄνωθεν τοῦ Α'στερίσκου τεθέντος, καὶ καλυφθέντων μετὰ τοῦ Α'έρος, ἢ βλατίου Καλύμματος, Ποιεῖ ὁ ἀρχιερεὺς Ε'υλογητόν. Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ο'τι σοῦ ἐστιν ἡ βασιλεία:~

Εἶτα τὰ παρόντα Τροπάρια. Ἦχος, Δ'.

Οἱ μάρτυρές σου Κύριε ἐν τῇ ἀθλήσει αὐτῶν, τοὺς στεφάνους ἐκομίσαντο τῆς ἀφθαρσίας ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν. ἔχοντες γὰρ τὴν ἰσχύν σου τοὺς τυράννους καθεῖλον, ἔθραυσαν καὶ δαιμόνων τὰ ἀνίσχυρα θράση. αὐτῶν ταῖς ἱκεσίαις Χριστὲ ὁ Θεὸς, σῶσον τὰς ψυχὰς ἡμῶν:~

Ἦχος

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Η'χος, β'.

Α'Θλοφόροι κυρίου, μακαρία ἡ γῆ ἡ πιανθεῖσα τοῖς αἵμασιν ὑμῶν, καὶ ἅγιαι αἱ σκηναὶ αἱ δεξάμεναι τὰ σώματα ὑμῶν. ἐν σταδίῳ γὰρ τὸν ἐχθρὸν ἐθριαμβεύσατε, καὶ Χριστὸν μετὰ παῤῥησίας ἐκηρύξατε. αὐτὸν ἱκετεύσατε σωθῆναι τὰς ψυχὰς ἡμῶν·

Η'χος, Α'. τὸν Τάφον σου σωτήρ.

Τοὺς μάρτυρας Χυ ἱκετεύσωμεν πάντες. αὐτοὶ γὰρ τὴν ἡμῶν σωτηρίαν αἰτοῦνται. καὶ πάντες προσέλθωμεν πρὸς αὐτοὺς μετὰ πίστεως. οὗτοι βρύουσι, τῶν ἰαμάτων τὴν χάριν. οὗτοι φάλαγγας, ἀποσοβοῦσι Δαιμόνων, ὡς φύλακες πίστεως.

Καὶ τὸ ῥοπάριον τῆς ἡμέρας.

Κοντάκιον, Η'χος, πλ. δ'.

Ω'Σ ἀπαρχὰς τῆς φύσεως, τῷ φυτουργῷ τῆς Κτίσεως, ἡ Οἰκουμένη προσφέρει σοι Κε τοὺς Θεοφόρους Μάρτυρας. ταῖς αὐτῶν ἱκεσίαις ἐν εἰρήνῃ βαθείᾳ τὴν Ε'κκλησίαν σου, διὰ τῆς Θκου σωτήρησον Πολυέλεε:~

Δόξα. Η'χος, πλ. β'.

ΜΑρτύρων θεῖος χορὸς, τῆς ἐκκλησίας ἡ βάσις, τοῦ Εὐαγγελίου ἡ τελείωσις, ὑμεῖς ἔργῳ τοῦ σωτῆρος τὰ ῥητὰ ἐπληρώσατε. Ε'ν ὑμῖν γὰρ αἱ πύλαι τοῦ ᾅδου κατὰ τῆς ἐκκλησίας ἀνεῳχθεῖσαι ἐκλείσθησαν. ἡ τοῦ αἵματος ὑμῶν χύσις τὰς εἰδωλικὰς σπονδὰς ἐξήρανεν. ἡ σφαγὴ ὑμῶν ἀπέτεκε τῶν πιστῶν τὸ πλήρωμα. τοὺς ἀσωμάτους ἐξεπλήξατε. τῷ θεῷ στεφανηφόροι παρίστασθε. πρὸς ὃν ἀπαύστως πρεσβεύσατε ὑπὲρ τῶν ψυχῶν ἡμῶν:~

Καὶ νῦν. Θεοτόκε σὺ εἶ ἡ ἄμπελος. Καὶ Α'πόλυσις.

ΚΑταρτίσας δὲ ὁ Α'ρχιερεὺς τὰ ἅγια λείψανα ὡς προείπομεν, εἰσφέρει ταῦτα μετὰ τοῦ Κλήρου ἐν ἑτέρῳ ἐνθρονιασμένῳ Ναῷ πρὸ τοῦ ἑσπερινοῦ, καὶ τίθησιν αὐτὰ ἐν τῇ ἁγίᾳ Τραπέζῃ, Καὶ ἅπτει Κηρὸς δι' ὅλης τῆς νυκτός. Ψάλλεται δὲ λυχνικὸν καὶ παννυχὶς εἰς τὸν Ναὸν τὸν ἀποδεξάμενον τὰ λείψανα τῶν ἁγίων, ὑπὸ τῶν ἐκεῖσε διατελούντων. μετὰ δὲ ταῦτα εἰσέρχονται ἐν τῷ μέλλοντι ἐνθρονιασθῆναι Ναῷ. καὶ τελεῖται Ε'σπερινὸς καὶ Α'γρυπνία:~

Χρὴ εἰδέναι ὅτι ταῦτα τελεῖται, εἰ μὲν ἐστὶν ἐνθρονιασμένος Ναός. εἰ δ' οὐκ ἔστι, τηνικαῦτα ἡ ἅπασα Α'κολουθία γίνεται ἐν τῷ μέσῳ Ναῷ:~



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΑΡΧΗ

## ΤΟΥ ΕΣΠΕΡΙΝΟΥ.

ΜΕτὰ τὸν προοιμιακὸν, τὸ Α΄. Ἀντίφωνον· τὸ, Μακάριος ἀνήρ. εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους, ι΄. καὶ ψάλλομεν στιχηρὰ ἰδιόμελα, τῶν ἐγκαινίων δ΄. καὶ τοῦ ἐπονομαζομένου ἁγίου δ΄.

Τῶν Ἐγκαινίων, Ἦχος πλ. β΄.

ΕΓκαίνια τιμᾶσθαι παλαιὸς Νόμος, καὶ καλῶς ἔχων· μᾶλλον δὲ τὰ νέα τιμᾶσθαι δι᾽ ἐγκαινίων. ἐγκαινίζονται γὰρ Νῆσοι πρὸς Θεὸν, ὡς φησὶν Ἠσαΐας. ἃς τινας ὑποληπτέον τὰς ἐξ ἐθνῶν ἐκκλησίας, ἄρτι καθισταμένας καὶ πῆξιν λαμβανούσας βάσιμον τῷ Θεῷ. διὸ καὶ ἡμεῖς τὰ παρόντα ἐγκαίνια πνευματικῶς πανηγυρίσωμεν.

Ὁ αὐτός.

ΕΓκαινίζεσθε ἀδελφοὶ, καὶ τὸν παλαιὸν ἄνθρωπον ἀποθέμενοι, ἐν καινότητι ζωῆς πολιτεύεσθε, πᾶσι χαλινὸν ἐπιθέντες, ἐξ ὧν ὁ θάνατος. πάντα τὰ μέλη παιδαγωγήσωμεν, πᾶσαν πονηρὰν τοῦ ξύλου βρῶσιν μισήσαντες. καὶ διὰ τοῦτο μόνον μεμνημένοι τῶν παλαιῶν, ἵνα φύγωμεν. οὕτως ἐγκαινίζεται ἄνθρωπος. οὕτω τιμᾶται ἡ τῶν ἐγκαινίων ἡμέρα.

Ὁ αὐτός. Ἀνατολίου.

ΕΘου πύργον ἰσχύος τὴν ἐκκλησίαν σου Χριστὲ προαιώνιε λόγε. ἐθεμελίωσας γὰρ αὐτὴν ἐπὶ πέτραν τῆς πίστεως. διὸ ἀσάλευτος διαμένει εἰς τὸν αἰῶνα, ἔχουσά σε τὸν δι᾽ αὐτὴν ἐπ᾽ ἐσχάτων ἀτρέπτως γενόμενον ἄνθρωπον. Εὐχαριστοῦντες οὖν ἀνυμνοῦμέν σε, λέγοντες. σὺ εἶ ὁ πρὸ τῶν αἰώνων, καὶ ἐπ᾽ αἰῶνα, καὶ ἔτι Βασιλεὺς ἡμῶν. Δόξα σοι.

Ὁ αὐτός. Ἰωάννου μοναχοῦ.

ΤΗν μνήμην τῶν ἐγκαινίων ἐπιτελοῦντες κύριε, σὲ τὸν ἁγιασμοῦ δοτῆρα δοξάζομεν, δεόμενοι ἁγιασθῆναι ἡμῶν τὰ αἰσθητήρια τῶν ψυχῶν, τῇ πρεσβείᾳ τῶν ἐνδόξων ἀθλοφόρων, ἀγαθὲ παντοδύναμε.

Καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Καὶ τοῦ ἐπονομαζομένου ἁγίου, Δ'.

Δόξα, τοῦ ἁγίου. Καὶ νῦν. Ἦχος, β'.

Τὸν Ἐγκαινισμὸν τελοῦντες τοῦ πανιέρου Ναοῦ τῆς σῆς Ἀναστάσεως σὲ δοξάζομεν Κύριε, τὸν ἁγιάσαντα τοῦτον, καὶ τελειώσαντα τῇ αὐτοτελέστου χάριτι, καὶ τερπόμενον ταῖς ἐν αὐτῷ ἱερουργουμέναις ὑπὸ πιστῶν μυστικαῖς καὶ ἱεραῖς τελεταῖς, καὶ προσδεχόμενον ἐκ χειρὸς τῶν δούλων σου τὰς ἀναιμάκτους καὶ ἀχράντους θυσίας, ἀντιδιδόντα δὲ τοῖς ὀρθῶς προσφέρουσι, τὴν τῶν ἁμαρτημάτων κάθαρσιν, καὶ τὸ μέγα ἔλεος.

Εἴσοδος. Προκείμενον τῆς ἡμέρας. Καὶ τὰ ἀναγνώσματα.

Βασιλειῶν τρίτης τὸ ἀνάγνωσμα.

Ἔστη Σολομὼν κατὰ πρόσωπον τοῦ Θυσιαστηρίου Κυρίου ἐνώπιον πάσης Ἐκκλησίας Ἰσραήλ. καὶ διεπέτασε τὰς χεῖρας αὐτοῦ εἰς τὸν οὐρανὸν, καὶ εἶπε. Κύριε ὁ Θεὸς Ἰσραὴλ, οὐκ ἔστι Θεὸς ὡς σὺ ἐν τῷ οὐρανῷ ἄνω, καὶ ἐπὶ τῆς γῆς κάτω. Εἰ ὁ Οὐρανὸς, καὶ ὁ Οὐρανὸς τοῦ Οὐρανοῦ οὐκ ἀρκέσουσί σοι, πῶς ὁ Οἶκος οὗτος ὃν ᾠκοδόμησα ἐν τῷ ὀνόματί σου; πλὴν καὶ ἐπιβλέψεις ἐπὶ τὴν δέησίν μου, Κύριε ὁ Θεὸς Ἰσραὴλ, ἀκούειν τῆς δεήσεως καὶ τῆς προσευχῆς ἧς ὁ δοῦλός σου προσεύχεται ἐνώπιόν σου πρὸς σὲ σήμερον, τοῦ εἶναι ὀφθαλμούς σου ἀνεῳγμένους εἰς τὸν Οἶκον τοῦτον ἡμέρας καὶ νυκτὸς, εἰς τὸν τόπον ὃν εἶπας, ἔσται τὸ ὄνομά μου ἐκεῖ, τοῦ εἰσακούειν τῆς προσευχῆς, ἧς προσεύχεται ὁ δοῦλός σου εἰς τὸν τόπον τοῦτον ἡμέρας καὶ νυκτός. Καὶ εἰσακούσῃ τῆς δεήσεως τοῦ δούλου σου, καὶ τοῦ λαοῦ σου Ἰσραὴλ, ἃ ἂν προσεύχωνται εἰς τὸν τόπον τοῦτον. Καὶ σὺ εἰσακούσῃ ἐν τῷ τόπῳ τῆς κατοικήσεώς σου ἐν Οὐρανῷ. καὶ ποιήσεις, καὶ ἵλεως ἔσῃ αὐτοῖς.

Ἰεζεκιὴλ τὸ Ἀνάγνωσμα.

Ἔσται ἀπὸ τῆς ἡμέρας τῆς ὀγδόης καὶ ἐπέκεινα, ποιήσουσιν οἱ Ἱερεῖς ἐπὶ τὸ Θυσιαστήριον τὰ ὁλοκαυτώματα ὑμῶν, καὶ τὰ τοῦ σωτηρίου ὑμῶν. καὶ προσδέξομαι ὑμᾶς, λέγει Κύριος Κύριος. Καὶ ἐπέστρεψέ με κατὰ τὴν ὁδὸν τῆς πύλης τῶν ἁγίων τῆς ἐξωτέρας τῆς βλεπούσης κατὰ ἀνατολάς. καὶ αὕτη ἦν κεκλεισμένη. Καὶ εἶπε Κύριος πρός με. ἡ πύλη αὕτη κεκλεισμένη ἔσται, οὐκ ἀνοιχθήσεται, καὶ οὐδεὶς οὐ μὴ διέλθῃ δι' αὐτῆς. ὅτι Κύριος ὁ Θεὸς Ἰσραὴλ εἰσελεύσεται δι' αὐτῆς. Καὶ ἔσται κεκλεισμένη. διότι ὁ ἡγούμενος οὗτος κάθηται ἐν αὐτῇ τοῦ φαγεῖν ἄρτον ἐναντίον Κυρίου. κατὰ τὴν ὁδὸν τοῦ Αἰλὰμ τῆς πύλης εἰσελεύσεται, καὶ κατὰ τὴν ὁδὸν αὐτοῦ ἐξελεύσεται. Καὶ εἰσήγαγέ με κατὰ τὴν ὁδὸν

τῆς πύλης τῶν ἁγίων τῆς πρὸς βοῤῥᾶν, κατέναντι τοῦ οἴκου. Καὶ εἶδον, καὶ ἰδοὺ πλήρης δόξης ὁ οἶκος Κυρίου.

### Παροιμιῶν τὸ ἀνάγνωσμα.

Ὁ Θεὸς τῇ σοφίᾳ ἐθεμελίωσε τὴν γῆν, ἡτοίμασε δὲ Οὐρανοὺς ἐν φρονήσει. ἐν αἰσθήσει αὐτοῦ ἄβυσσοι ἐῤῥάγησαν, νέφη δὲ ἐῤῥύη δρόσον. Υἱὲ, μὴ παραῤῥυῇς. τήρησον δὲ ἐμὴν βουλὴν καὶ ἔννοιαν, ἵνα ζῇ ἡ σὴ ψυχὴ, καὶ χάρις ᾖ περὶ σῷ τραχήλῳ. Ἔσται δὲ ἴασις ταῖς σαρξί σου, καὶ ἐπιμέλεια τοῖς ὀστέοις σου, ἵνα πορεύῃ πεποιθὼς ἐν εἰρήνῃ πάσας τὰς ὁδούς σου. ὁ δὲ πούς σου οὐ μὴ προσκόψῃ. ἐὰν γὰρ κάθῃ, ἄφοβος ἔσῃ. ἐὰν δὲ καθεύδῃς, ἡδέως ὑπνώσεις, Καὶ οὐ φοβηθήσῃ πτόησιν ἐπελθοῦσαν, οὐδὲ ὁρμὰς ἀσεβῶν ἐπερχομένας. ὁ γὰρ Κύριος ἔσται ἐπὶ πασῶν ὁδῶν σου. καὶ ἐρείσει σὸν πόδα, ἵνα μὴ ἀγρευθῇς, Μὴ ἀπόσχου εὖ ποιεῖν ἐνδεῆ, ἡνίκα ἂν ἔχῃ ἡ χείρ σου βοηθεῖν. Μὴ εἴπῃς. ἐπανελθὼν ἐπάνηκε, καὶ αὔριον δώσω. δυνατοῦ σου ὄντος εὖ ποιεῖν. οὐ γὰρ οἶδας τί τέξεται ἡ ἐπιοῦσα. Μὴ τέκταινε ἐπὶ σὸν φίλον κακὰ, παροικοῦντα καὶ πεποιθότα ἐπὶ σοί. Μὴ φιλεχθρήσῃς πρὸς ἄνθρωπον μάτην, ἵνα μήτι εἰς σὲ ἐργάσηται κακόν. Μὴ κτήσῃ κακῶν ἀνδρῶν ὀνείδη, μηδὲ ζηλοῦ τὰς ὁδοὺς αὐτῶν. ἀκάθαρτος γὰρ ἔναντι Κυρίου πᾶς παράνομος, ἐν δὲ δικαίοις οὐ συνεδριάζει. Κατάρα Κυρίου ἐν οἴκοις ἀσεβῶν. ἐπαύλεις δὲ δικαίων εὐλογοῦνται. Κύριος ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν.

**Εἶτα ἡ Ἐκτενὴ ὡς σύνηθες.**

**Εἰς τὸν στίχον στιχηρά. Ἦχος, Α'.**

Ἐγκαινίζου ἐγκαινίζου ἡ νέα Ἱερουσαλήμ. ἥκει γάρ σου τὸ φῶς, καὶ ἡ δόξα Κυρίου ἐπὶ σὲ ἀνατέταλκε. τοῦτον τὸν Οἶκον ὁ Πατὴρ ᾠκοδόμησε. τοῦτον τὸν Οἶκον ὁ Υἱὸς ἐστερέωσε. τοῦτον τὸν Οἶκον τὸ Πνεῦμα τὸ ἅγιον ἀνεκαίνισε, τὸ φωτίζον, καὶ στηρίζον, καὶ ἁγιάζον τὰς ψυχὰς ἡμῶν:~

**Στίχος.**

Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ ἡ πόλις τοῦ Θεοῦ.

Πάλαι μὲν ἐγκαινίζων τὸν Ναὸν ὁ Σολομὼν, ἀλόγων ζώων θυσίας καὶ ὁλοκαυτώματα προσέφερε Κυρίῳ. ὅτε δὲ ἐδόκησας σωτὴρ τοὺς τύπους μὲν ἀργῆσαι, γνωσθῆναι δὲ τὴν ἀλήθειαν, ἀναιμάκτους θυσίας τὰ πέρατα τοῦ κόσμου προσφέρει τῇ δόξῃ σου. πάντων γὰρ δεσπόζων, τὰ πάντα ἁγιάζει: τῷ ἁγίῳ σου πνι:~

Στί-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Στίχος.

Ἀγαπᾷ Κύριος τὰς πύλας Σιών. Ἦχος, δ'.

Ἐγκαινίζεται σήμερον ἡ τῶν ἐθνῶν ἐκκλησία, τῷ τιμίῳ καὶ ζωηῤῥύτῳ αἵματι, τῆς ἀχράντου καὶ ἀκηράτου πλευρᾶς, τοῦ σαρκωθέντος ἐκ τῆς ἁγίας Παρθένου Χριστοῦ τοῦ Θεοῦ ἡμῶν. Διὸ ἀθροισθεῖσαι τῶν πιστῶν αἱ χορεῖαι, δοξάσωμεν τὸν Πατέρα, καὶ Υἱόν, καὶ τὸ ἅγιον Πνεῦμα, τὴν μίαν θεότητα, τὴν κρατοῦσαν τὰ σύμπαντα:-

Δόξα, τοῦ ἁγίου τῆς μονῆς. Καὶ νῦν, τῶν ἐγκαινίων. Ἦχος, γ'.

Πρὸς ἑαυτὸν ἐπανάγου ἄνθρωπε. Γενοῦ καινὸς ἀντὶ παλαιοῦ, καὶ ψυχῆς ἑόρταζε τὰ ἐγκαίνια. ἕως καιρός, ὁ βίος ἐγκαινιζέσθω σοι, πάσης πολιτείας ὁδός. τὰ ἀρχαῖα παρῆλθεν. ἰδοὺ γέγονε τὰ πάντα καινά. τοῦτο τῇ ἑορτῇ καρποφόρησον, τὴν καλὴν ἀλλοίωσιν ἀλλοιούμενος. οὕτως ἐγκαινίζεται ἄνθρωπος. οὕτω τιμᾶται ἡ τῶν ἐγκαινίων ἡμέρα. Νῦν ἀπολύεις. Ὅτι σοῦ.

Ἀπολυτίκιον. Ἦχος, δ'.

Ὡς τοῦ ἄνω στερεώματος τὴν εὐπρέπειαν, καὶ τὴν κάτω συναπέδειξας ὡραιότητα, τοῦ ἁγίου Σκηνώματος τῆς δόξης σου Κύριε. κραταίωσον αὐτὸν εἰς αἰῶνα αἰῶνος, καὶ πρόσδεξαι ἡμῶν τὰς ἐν αὐτῷ ἀπαύστως προσαγομένας σοι δεήσεις, πρεσβείαις τῆς Θεοτόκου, ἡ πάντων ζωὴ καὶ ἀνάστασις.

Δόξα, τοῦ ἁγίου. Καὶ νῦν τό. αὐτό. Καὶ ἡ λοιπὴ Ἀκολουθία τῆς ἀγρυπνίας.

Εἰς τὸν ὄρθρον μετὰ τό, Θεὸς Κύριος. Τροπάριον τῶν ἐγκαινίων, καὶ τοῦ ἁγίου τῆς Μονῆς, καὶ πάλιν τῶν ἐγκαινίων.

Μετὰ τὴν Α'. Στιχολογίαν, Κάθισμα. Ἦχος, πλ. Δ'.

Τὸ προσταχθέν μυστικῶς.

Τοῦ μαρτυρίου τὴν σκηνὴν Χριστὸς παρέδειξε, καὶ ὁ θεσπέσιος Μωσῆς ἐν γῇ ἐπήξατο, καὶ Ναὸν ἐγκαινίζει Σολομὼν ἐν θυσίαις. ἡμεῖς δὲ πρὸς τὴν νέαν Ἱερουσαλήμ, τῇ πίστει καταφεύγοντες Δαβιδικῶς, δῶμεν θείαν ἀνύμνησιν τῷ Σταυρωθέντι δι' ἡμᾶς, αἰτούμενοι συγχώρησιν πάντων ὧνπερ ἡμάρτομεν. Πάλιν τὸ αὐτό.

Εἰς τὴν β'. Στιχολογίαν, Κάθισμα.

Ἦχος, πλ. δ'.

Ὁ σοφίας ἀῤῥήτου Δημιουργός, κατεσκεύασας θρόνον τοὺς Οὐρανούς. τὴν γῆν δ' ὑποπόδιον τῶν ποδῶν σου, ἐκάλεσας. Καὶ τὸν ναὸν τοῦτον, ὃν ηὐδόκησας Κύριε. ἐπὶ τῷ ὀνοματίσου κτισθῆναι εἰς



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δόξαν σου, τοῦτον ἠρετίσω εἰς τὴν σὴν κατοικίαν, ἀκούειν τὰς δεήσεις τῶν ἐν αὐτῷ εἰσιόντων. ἐν ᾧ πίστει βοῶμέν σοι. Δέσποτα Χριστὲ ὁ Θεὸς, τῶν πταισμάτων ἄφεσιν κατάπεμψον, τοῖς προσκυνοῦσιν ἐν πίστει τὴν δόξαν σου. Καὶ πάλιν τὸ αὐτό.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα. Ἦχος, Δ΄.

Ταχὺ προκατάλαβε.

Τῷ οἴκῳ σου Κύριε, πρέπει ἁγίασμα. ἐν τούτῳ γὰρ τὸ ὄνομα, τὸ σὸν φιλάνθρωπε, ἐνθέως δοξάζεται. ὅθεν σὺν τῷ προφήτῃ ἐκβοῶμέν σοι πίστει. σοῦ τὸ ἅγιον Πνεῦμα, νῦν ἐγκαίνισον πάντας, πρεσβείαις τῆς Θεοτόκου μόνε φιλάνθρωπε.

Πάλιν τὸ αὐτό. Ὁ [illegible]. Τὸ α΄. Ἀντίφωνον τοῦ δ΄. ἤχου. Εὐαγγέλιον τοῦ ἐπονομαζομένου ἁγίου. Ὁ Πεντηκοστός. Δόξα, Ταῖς τοῦ σοῦ Ἁγίου. Καὶ νῦν, ταῖς τῆς Θεοτόκου. τὸ Ἰδιόμελον τοῦ ἁγίου. Οἱ κανόνες τῶν Ἐγκαινίων μετὰ τῶν Εἱρμῶν εἰς ς΄. καὶ τοῦ ἐπονομαζομένου Ἁγίου εἰς, η΄.

Εἰ δὲ γίνῃ Κυριακὴ, λέγονται οἱ ἀναβαθμοὶ τῆς Ὀκτωήχου. Καὶ Εὐαγγέλιον Ἑωθινόν. Οἱ Κανόνες, ὁ ἀναστάσιμος μετὰ τῆς Θεοτόκου εἰς ς΄. τῶν Ἐγκαινίων εἰς δ΄. καὶ τοῦ ἁγίου εἰς, δ΄. Καταβασία τῆς ἡμέρας:—

Κανὼν τῶν Ἐγκαινίων. Ὠδὴ, Α΄. Ἦχος, δ΄.

Θαλάσσης τὸ ἐρυθραῖον. Ἰωάννου Μοναχοῦ.

Ὁ στύλῳ καθοδηγῶν τὸ πρότερον τὸν ἐκλεκτὸν Ἰσραὴλ, διὰ λουτροῦ βαπτίσματος Χριστὲ, ἐν Σιὼν κατεφύτευσας, τὴν Ἐκκλησίαν κράζουσαν, ᾄσωμεν ᾆσμα τῷ Θεῷ ἡμῶν.

Ἐν ἥμερον τῆς ἀπροσίτου δόξης σου ἡ ἐπιφοίτησις, τὸν ἐπὶ γῆς παγέντα σοι Ναὸν, οὐρανὸν κατεσκεύασεν. ἐν ᾧ συμφώνως ᾄσωμεν ᾆσμα Κυρίῳ τῷ Θεῷ ἡμῶν.

Ὁ Ὑ Νόμῳ ἡ Ἐκκλησία Κύριε ἐγκαλλωπίζεται, οὐ δουλικῶν ἐκτάσεσι χειρῶν. τοῦ σταυροῦ δὲ τῇ χάριτι ἐγκαυχωμένη ψάλλει σοι. ᾄσωμεν ᾆσμα τῷ Θεῷ ἡμῶν:—

Ἄνωθεν ἀσπόρως τῷ τοῦ πατρὸς βουλήματι ἐκ θείου πνεύματος, τὸν τοῦ Θεοῦ συνείληφας Υἱὸν, καὶ σαρκὶ ἀπεκύησας, τὸν ἐκ Πατρὸς ἀμήτορα, καὶ δι' ἡμᾶς ἐκ σοῦ ἀπάτορα. Ὠδὴ. γ΄. ὁ Εἱρμός. Εὐφραίνεται ἐπὶ σοί.

Ἡγίασας ἐπὶ γῆς, τὴν Ἐκκλησίαν σου Χριστὲ πνεύματι, χρίσας αὐτὴν σήμερον, σῆς ἀγαλλιάσεως ἔλαιον.

Θεμέλιόν σε Χριστὲ, ἡ Ἐκκλησία ἀρραγῆ ἔχουσα, τῷ σῷ Σταυρῷ

ςέφεται, ὡς βασιλικῷ διαδήματι.

Υ᾽πέδειξας ἀγαθὲ, τὴν χειροποίητον σκηνὴν σήμερον, τῆς ὑπερ-
μονου δόξης σου, οἰκονομικῶς οἰκητήριον.

Υ᾽μόνη τοῖς ἐπὶ γῆς, τῶν ὑπὲρ φύσιν ἀγαθῶν πρόξενος, Μήτηρ
Θεοῦ γέγονας. ὅθεν σοι τὸ χαῖρε προσάγομεν.

Κάθισμα. Ἦχος, δ᾽. Ταχὺ προκατάλαβε.

Τὰ πάντα ἐφώτισε, τῇ παρουσίᾳ Χριςὸς. τὸν κόσμον ἀνεκαί-
νισε, Πνεύματι θείῳ αὐτοῦ. ψυχαὶ ἐγκαινίζονται. Οἶκος γὰρ ἀ-
νετέθη, νῦν εἰς δόξαν Κυρίου. ἔνθα καὶ ἐγκαινίζει, τῶν πιςῶν τὰς καρ-
δίας, Χριςὸς ὁ Θεὸς ἡμῶν, εἰς σωτηρίαν βροτῶν.

Δόξα. Κάθισμα τοῦ ἁγίου.

Καὶ νῦν. Ἦχος, δ᾽. Ταχὺ προκατάλαβε.

Ε᾽ν πίςει τὰ ἐγκαίνια, ἐπιτελοῦμεν φαιδρῶς, τοῦ Οἴκου σου ἄχραντε,
εὐλογημένη ἁγνὴ, Παρθένε πανύμνητε, χαίροντες τῇ ἐλπίδι,
τῇ εἰς σὲ Θεοτόκε, αἰτοῦμεν σε πρεσβεύειν τῷ Σωτῆρι ἀπαύςως, αὐ-
τῷ τῷ σαρκωθέντι ἐκ σοῦ, σῶσαι τὰς ψυχὰς ἡμῶν.

Ὠδὴ, δ᾽. Ὁ Εἱρμός. Ἐπαρθέντα σε.

Οὐκ ἐν θύμασιν ἀλόγων ἡ Ἐκκλησία, ἀλλὰ τῷ σῷ τιμίῳ ἐκ
πλευρᾶς ζωηφόρου, αἵματι ῥαντίζεται, εἰκότως κραυγάζουσα,
δόξα τῇ δυνάμει σου Κύριε.

Τὰ σκηνώματα Κυρίου ἠγαπημένα, τοῖς κατιδεῖν ποθοῦσιν ἀνα-
κεκαλυμμένως, τὴν δόξαν τοῦ προσώπου αὐτοῦ, συμφώνως
κραυγάζουσι, δόξα τῇ δυνάμει σου Κύριε.

Εἰκονίζουσα τὴν χεῖρσιν ἡ Ἐκκλησία, τοῦ ἐκλεκτοῦ Λαοῦ σου τὸ πο-
λύτιμον Μῦρον, σήμερον ἀλείφεται, τὴν θείαν τοῦ Πνεύματος,
χάριν ἀοράτως λαμβάνουσα.

Υ᾽περφυῶς ἐκύησας ὦ Παρθένε, καὶ μετὰ τόκον ὤφθης Παρ-
θενεύουσα πάλιν. ὅθεν ἀσιγήτοις φωναῖς, τὸ χαῖρέ σοι Δέσποι-
να, πίςει ἀδιςάκτῳ κραυγάζομεν.

Ὠδὴ, ε᾽. ὁ Εἱρμός. Σὺ Κύριέ μου φῶς.

Σὺ πάλαι ἐν Σινᾷ, σκηνὴν ἀχειροποίητον, ὑπέδειξας τῷ Θεό-
πτῃ, Μωϋσῇ διαγραφὴν, Χριςὲ τὴν ἐκκλησίαν σου.

Σὺ Κύριε σκηνὴν, ἐπὶ γῆς κατεσκεύασας. σὺ τάξεσιν Οὐρανίαις,
τῶν βροτῶν τὰς χορείας, συνάπτεις τῇ δυνάμει σου.

Σὲ Κύριε πηγὴν, τῆς ζωῆς ἐπιςάμεθα. σὺ Ἅγιε τὴν εἰρήνην,
ἐλθὼν εὐηγγελίσω, Χριςὲ τῇ Ἐκκλησίᾳ σου.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΣΕ ὅπλον ἀῤῥαγὲς, κατ' ἐχθρῶν προβαλλόμεθα· σὲ ἄγκυραν καὶ ἐλπίδα, τῆς ἡμῶν σωτηρίας, Θεόνυμφε κεκτήμεθα.

Ὠδὴ ϛ'. ὁ Εἱρμός. Θύσω σοι, μετὰ φωνῆς.

ΝΟῦ κάλλος, ὁ Βασιλεὺς Χριστὸς ἐπεθύμησε, νῦν τῆς σεπτῆς Ἐκκλησίας, καὶ Ἐθνῶν μητέρα ἀπέδειξεν, ἐκ δουλείας, υἱοθετουμένων διὰ τοῦ πνεύματος.

ΦΡίττουσι, τῶν δυσμενῶν Δαιμόνων αἱ φάλαγγες, τὴν τοῦ Χριστοῦ ἐκκλησίαν, τοῦ Σταυροῦ τῷ τύπῳ σημειουμένην· Καὶ σκιάζει, ἁγιαστικὴ τοῦ Πνεύματος ἔλλαμψις.

ΟΥ' ψάμμον, ἀλλὰ Χριστὸν θεμέλιον ἔχουσα, ἡ ἐξ ἐθνῶν Ἐκκλησία, στεφανοῦται κάλλει τῷ ἀπροσίτῳ, καὶ διαδήματι, τῆς βασιλείας ἐγκαλωπίζεται:~

Ὢ θαῦμα, τῶν ἁπάντων θαυμάτων καινότερον· ὅτι Παρθένος ἐν μήτρᾳ, τὸν τὰ σύμπαντα περιέποντα, ἀπειράνδρως, συλλαβοῦσα οὐκ ἐστενοχώρησε.

Κοντάκιον. Ἦχος, δ'. Ἐπεφάνης σήμερον.

ΟΥ'ρανὸς πολύφωτος ἡ Ἐκκλησία, ἀνεδείχθη ἅπαντας φωταγωγοῦσα τοὺς πιστούς· ἐν ᾧ ἑστῶτες κραυγάζομεν· τοῦτον τὸν οἶκον στερέωσον Κύριε:~

Ὁ οἶκος.

ΕΠιδημήσαντος ἡμῖν τοῦ λόγου κατὰ σάρκα, ὁ τῆς βροντῆς μὲν γόνος φησὶ καθυπογράφων· ἐθεασάμεθα φαιδρῶς τὴν δόξαν, ἣν εἶχεν ὁ υἱὸς παρὰ πατρὸς ἐν ἀληθείας χάριτι. ὅσοι δὲ πίστει τοῦτον ἐλάβομεν, ἔδωκε τοῖς πᾶσιν ἐξουσίαν, τοῦ γενέσθαι τέκνα Θεοῦ. οἱ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκὸς ἀναγεννηθέντες, ἀλλ' ἐκ πνεύματος ἁγίου ἐπαυξηθέντες, οἶκον προσευχῆς ἐπήξαμεν, καὶ βοῶμεν. τοῦτον τὸν οἶκον στερέωσον Κύριε:~

Εἶτα τὸ συναξάριον τοῦ μηναίου.

Ὠδὴ, ζ'. ὁ Εἱρμός. ἐν τῇ Καμίνῳ.

ΔΡοσοβόλος μὲν ἡ καμιναία φλὸξ ἐδείχθη ποτέ. νῦν δὲ ἐξ ἐλαίου χρῖσμα πνευματικὸν, ἁγιάζει τοὺς κραυγάζοντας· Εὐλογημένος εἶ ἐν τῷ ναῷ τῆς δόξης σου Κύριε:~

ΩΣ ἐν καμίνῳ τῇ Θεοδόχῳ ταύτῃ νέᾳ σκηνῇ, πάντες οἱ ἐξ Ἰσραὴλ τοῦ Πνευματικοῦ, δροσιζόμενοι βοήσωμεν. Εὐλογημένος εἶ ἐν τῷ ναῷ τῆς δόξης σου Κύριε.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΟΙ' τετρωμένοι τῷ γλυκυτάτῳ θείῳ ἔρωτι, δεῦτε ἐν παςάδι ταύτῃ βασιλικῇ, συναφθῶμεν τῷ νυμφίῳ Χριςῷ. Εὐλογημένος εἶ ἐν τῷ Ναῷ τῆς δόξης σου Κύριε.

ΤΟ' τοῦ ὑψίςου ἡγιασμένον Θεῖον σκήνωμα, χαῖρε διὰ σοῦ γὰρ δέδοται ἡ χαρὰ, Θεοτόκε τοῖς κραυγάζουσιν. Εὐλογημένη σὺ ἐν Γυναιξὶν ὑπάρχεις παναμώμε Δέσποινα.

Ὠδὴ, η. ὁ Εἱρμός. Χεῖρας ἐκπετάσας.

ΕΗ'μερον χιτῶνα ποικίλον, τὸν ἄνωθεν ὑφαντὸν ἐκ θείας χάριτος, ἡ Ἐκκλησία σου Κύριε, ὥσπερ νύμφη ἐςολίσατο. Καὶ τοὺς οἰκείους συγκαλεῖ πρὸς εὐφροσύνην λαοὺς, ἐκβοῶντας. πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

ΕΗ'μερον ὁ δεύτερος Ἀδὰμ, Χριςὸς ἀνέδειξε παράδεισον ποικίλον, τὴν νέαν ταύτην σκηνὴν τὸ φέρουσαν, κατὰ ξύλου τοῦ τῆς γνώσεως, τὸ ζωηφόρον τοῦ Σταυροῦ ὅπλον τοῖς ψάλλουσιν. Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

ΠΑτρὸς ἐξ ἀνάρχου σε Υἱὸν, καὶ Πνεῦμα ἅγιον, μίαν Θεότητα, τελείαν ἄναρχον ἄτμητον, ὁμοούσιον ἀσύγχυτον, ἐν Ὑποςάσεσι τρισὶ σέβοντες ψάλλομεν. Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον:~

ΕΥ' μόνη ἐν πάσαις γενεαῖς, Παρθένε ἄχραντε, μήτηρ ἐδείχθης Θεοῦ. σὺ τῆς Θεότητος γέγονας, ἐνδιαίτημα παναμώμε, μὴ φλογισθεῖσα τῷ πυρὶ, τοῦ ἀπροσίτου φωτὸς. ὅθεν πάντες, σὲ εὐλογοῦμεν Μαρία Θεόνυμφε:~

Ὠδὴ, θ΄. ὁ Εἱρμὸς. Λίθος ἀχειρότμητος.

ΔΕῦτε καθαρᾷ τῇ καρδίᾳ, καὶ νηφαλαίοις ὄμμασι νοὸς, τῆς τοῦ Βασιλέως Θυγατρὸς, τῆς Ἐκκλησίας τὴν ὡραιότητα, ὑπὲρ χρυσίον λάμπουσαν, καταπλουτοῦντες μεγαλύνωμεν.

ΧΑῖρε καὶ εὐφραίνου ἡ Νύμφη, τοῦ Βασιλέως τοῦ μεγάλου, κατοπτριζομένη τηλαυγῶς, τοῦ σοῦ Νυμφίου τὴν ὡραιότητα, σὺν τῷ λαῷ σου κράζουσα, σὲ ζωοδότα μεγαλύνομεν.

ΤΗ'ν ἐξ ὕψους ἄμωμον σῶτερ, τὴν Ἐκκλησίαν σου παράσχου. ἄλλον γὰρ πλὴν σου οὐκ οἶδεν, εἰ μὴ σε τὸν ὑπὲρ ταύτης τὴν σὴν, πάλαι ψυχὴν προθέμενον, ἐν ἐπιγνώσει μεγαλύνουσαν:~

ΧΑῖρε Κεχαριτωμένη ἡ Νύμφη, τοῦ Βασιλέως τοῦ μεγάλου. ὅτι διὰ σοῦ τῆς κατάρας, τῆς Εὔας πάντες Ἀγνὴ ἐρρύσθημεν. καὶ τὴν ζωὴν εὑράμεθα, ἐν τῇ κυήσει σου ἀνύμφευτε.

Ἐξα-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

ΤΟ Πνεῦμά σου τὸ ἅγιον, ἐγκαίνισον φιλάνθρωπε, ἐν ταῖς καρδίαις τῶν πιστῶν, τὰ ἱερὰ Ἐγκαίνια, τοῦ οἴκου σου τοῦ πανσέπτου, ἐπιτελούντων Κύριε. ἐν ᾧ τὰς προσευχὰς ἡμῶν, τῶν προσκυνούντων σε Σῶτερ, ὥσπερ θυσίαν προσδέχου.

Εἰς τοὺς αἴνους, ἱστῶμεν Στίχους δ'. καὶ ψάλλομεν στιχηρὰ προσόμοια, Ἦχος δ'. Ἔδωκας σημείωσιν.

ΣΗμερον ὁ ἔνθεος, καὶ ἱερὸς καὶ σεβάσμιος, τῆς Χριστοῦ ἀναστάσεως, φαιδρῶς ἐγκαινίζεται, φωτοφόρος Οἶκος, καὶ μένει ἐν Κόσμῳ, τάφος ὁ θεῖος τὴν ζωήν, καὶ ἐμπαρέχει πηγὴν ἀθάνατον. βλυστάνει ῥεῖθρα χάριτος, θαυμάτων βρύει τὰ νάματα. καὶ δωρεῖται ἰάματα, τοῖς αὐτὸν πίστει μέλπουσιν.

ΗΣτραψεν ἡ ἄνωθεν, φωτοφανὴς αἴγλη λάμπουσα, καὶ τὰ πάντα φωτίζουσα. Πιστῶς οὖν τιμήσωμεν, τὴν Χριστοῦ τοῦ Κτίστου, Ἀνάστασιν πάντες, καὶ ἐγκαινίων ἱερῶν, τὴν ζωηφόρον θείαν πανήγυριν, ἐν ὕμνοις ἑορτάσωμεν, καὶ ἐν ψαλμοῖς ἀλαλάξωμεν. ὅπως ἵλεων εὕρωμεν, τὸν Σωτῆρα καὶ Κύριον.

ΜΕσον γῆς ὑψούμενον, προκατιδεῖν ἐφιέμενοι, τοῦ σταυροῦ σκῆπτρον ἅγιον, ψυχὰς προκαθάρωμεν, ἀστραφθῶμεν φρένας, φωτὶ λαμπρυνθῶμεν, καὶ ἐν δυνάμει θεϊκῇ, καταυγασθέντες Χριστὸν ὑμνήσωμεν, τῷ ξύλῳ τῷ σεπτῷ αὐτοῦ, ἁγιασμὸν παρεχόμενον, τοῖς ἐν πίστει κραυγάζουσι, καὶ θερμῶς αὐτὸν μέλπουσι.

Δευτεροῦμεν τὸ πρῶτον. Δόξα, τοῦ ἐπονομαζομένου ἁγίου. Καὶ νῦν, τῶν Ἐγκαινίων, Ἦχος, πλ. α'.

ΟἘπὶ τῶν κόλπων τῶν πατρικῶν ἐπαναπαυόμενος Λόγε, τὸ Πνεῦμά σου τὸ ἅγιον ἐγκαίνισον ἐν τῷ Ναῷ, τῷ εἰς ὄνομά σου ἀνεγηγερμένῳ.

Δοξολογία μεγάλη, καὶ ἀπόλυσις.

Ἰστέον ὅτι μετὰ τὴν συμπλήρωσιν τοῦ ὄρθρου μικρὸν ἡσυχάσαντες, συναθροίζονται πάλιν ὁ Ἀρχιερεὺς μετὰ τοῦ Κλήρου, καὶ τοῦ Διακόνου. καὶ εἰσέρχονται ἐν τῷ μέσῳ Ναῷ, κἀκεῖ ἀποτάττει ὁ Ἀρχιερεύς, καὶ φέρουσι πάντα τὰ προετοιμασθέντα Εἴδη τοῦ Ἐγκαινιασμοῦ. Καὶ τότε δὴ τό, τε Κηρίον, καὶ τὰ τῆς κηρομαστίχης εἴδη ταῦτα, Μαστίχην, Σμύρναν, Ἀλόην, Θυμίαμα, Ῥετζίνην, καὶ Λάδανον, ἀνὰ εἴκοσι δραχμὰς ἕκαστον τῇ χύτρᾳ ἐγχέαντες, ἐνδιδόασιν αὐτὴν τῷ πυρί. Καὶ μετὰ τὸ διαλυθῆναι αὐτά, πλησίον

αὖθις

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

εὐθὺς τὴν χύτραν κατέχουσι τοῦ πυρὸς, τοῦ μὴ ἀποψυχρανθῆναι ὅλως τὰ ἐν αὐτῇ, διὰ τὴν ῥηθησομένην χρείαν. ὡσαύτως καὶ τὴν ἑτέραν χύτραν πληρώσαντες ὕδατος, παρατιθέασι τῷ πυρὶ, τοῦ γενέσθαι θερμὸν εἰς ἔκπλυσιν τῆς θείας τραπέζης.

Εἶτα δὲ τὴν ἁγίαν καταβιβάσαντες Τράπεζαν, περιδεσμοῦσι τὰ χαρτία εἰς τὸ χεῖλος τοῦ κίονος, ὥστε ἐξέχειν αὐτὰ ἐπάνω τοῦ χείλους δακτυλομένα. Ἔπειτα εἰσφέροντες τὸ τετριμμένον μάρμαρον, ἀναγεμίζουσιν ἔσωθεν τὸν γῦρον τῶν χαρτίων, ἵνα μὴ ῥάσῃ ἡ Κηρομαστίχη.

Τὸ δὲ Σάβανον τοῦ Ἀρχιερέως, καὶ τὸ κατασάρκιον τῆς Τραπέζης, καὶ τὰ τέσσαρα ὑφάσματα, καὶ τὰ ἀντιμίνσια, τό, τε ἅγιον Μῦρον, καὶ ἡ θήκη τῶν ἁγίων λειψάνων, ἔν τινι ταῦτα πάντα τοῦ βήματος ἀποτίθενται τόπῳ, καὶ ἕκαστον ἐν καιρῷ τῷ ἀνήκοντι λαμβανόμενον τίθεται ὅπου ἂν ἡ χρεία.

Εἶτα λαμβάνει καιρὸν ὁ Ἱερεὺς, καὶ ποιεῖ προσκομιδήν.

Ὁ δὲ Ἀρχιερεὺς ἀπέρχεται εἰς τὸν Ναὸν, ἐν ᾧ τὰ ἅγια ἐτέθησαν λείψανα. κἀκεῖ τοίνυν τὴν ἅπασαν ἀρχιερατικὴν στολὴν ἀμπεχόμενος, ποιεῖ εὐλογητόν. Καὶ εὐθὺς ἄρχονται τοῦ ψαλμοῦ. Κύριε εἰσάκουσον τῆς προσευχῆς μου. Εἶτα γίνεται μικρὰ συναπτὴ, καὶ λέγει ὁ Διάκονος.

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς.

Τῆς Παναγίας ἀχράντου. Ὁ Ἀρχιερεὺς ἐκφωνεῖ.

Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι. νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Διάκονος. Τοῦ Κυρίου δεηθῶμεν. Ὁ Ἀρχιερεὺς τὴν εὐχήν.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ Πιστὸς ἐν τοῖς λόγοις σου, καὶ ἀψευδὴς ἐν ταῖς ἐπαγγελίαις σου, ὁ χαρισάμενος (1) τοῖς ἁγίοις σου Μάρτυσι τὸν ἀγῶνα τὸν καλὸν ἀγωνίσασθαι, καὶ τὸν δρόμον τῆς εὐσεβείας τελέσαι, καὶ τὴν πίστιν τῆς ἀληθοῦς ὁμολογίας φυλάξαι. αὐτὸς Δέσποτα Πανάγιε, ταῖς αὐτῶν ἱκεσίαις παρακλήθητι, καὶ χάρισαι ἡμῖν τοῖς ἀναξίοις δούλοις σου, μέρος καὶ κλῆρον ἔχειν μετ᾽ αὐτῶν. ἵνα μιμηταὶ αὐ-



(1) Ἐν τοῖς ἁγίοις σου μάρτυσιν ἀγῶνα καλὸν ἀγωνίσασθαι, καὶ τὸν δρόμον εὐσεβείας τελέσαι, καὶ πίστιν τῆς ἀληθοῦς ὁμολογίας φυλάξαι. οὕτω παρὰ τῷ Συγγρ. τῆς ἐμπ. ἀκολ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῶν γενόμενοι, καταξιωθῶμεν (1) τῶν ἀποκειμένων αὐτοῖς ἀγαθῶν.

Ἐκφώνησις.

Ἐλέει καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ᾽ οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι. νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Ἀρχιερεύς. Εἰρήνη πᾶσιν: ὁ Διάκονος.

Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ Ἀρχιερεὺς, τὴν εὐχὴν ταύτην μυστικῶς.

Κύριε ὁ Θεὸς ἡμῶν, πρεσβείαις τῆς ἁγίας Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ πάντων τῶν ἁγίων σου, τὰ ἔργα τῶν χειρῶν ἡμῶν τῶν ἀναξίων δούλων σου κατεύθυνον. καὶ ἐν πᾶσιν εὐαρεστεῖν ἡμᾶς τῇ σῇ ἀγαθότητι καταξίωσον. Ἐκφώνως. Εἴη τὸ κράτος τῆς βασιλείας σου εὐλογημένον, καὶ δεδοξασμένον. τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ μετὰ τὴν ἐκφώνησιν ἐπιτάττει ὁ Ἀρχιερεὺς ἵνα θεία γένηται λειτουργία καὶ ἐν τῷ Ναῷ ἐκείνῳ ἐν ᾧ τὰ ἱερὰ ἐτέθησαν λείψανα. εἶτα αἴρει αὐτὰ ἐπὶ τῆς κεφαλῆς αὐτοῦ μετὰ τοῦ ἁγίου δίσκου. καὶ προπορευομένων τῶν ἱερέων καὶ Κληρικῶν μετὰ τῶν ἁγίων εὐαγγελίων σὺν τῷ λαῷ μετὰ λαμπάδων φαεινῶν, παραγίνονται μετὰ λιτῆς ἐν τῷ μέλλοντι ἐγκαινίζεσθαι Ναῷ ψάλλοντες τὰ παρόντα τροπάρια.

Ἦχος βαρύς.

Ἅγιοι Μάρτυρες οἱ καλῶς ἀθλήσαντες καὶ στεφανωθέντες, πρεσβεύσατε πρὸς Κύριον ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα σοι Χριστὲ ὁ Θεὸς, Ἀποστόλων καύχημα, Μαρτύρων ἀγαλλίαμα, ὧν τὸ κήρυγμα Τριὰς ἡ ὁμοούσιος.

Καὶ φθάσαντες ἔρχονται γύρωθεν τοῦ Ναοῦ ψάλλοντες τὰ ἰδιόμελα ταῦτα.

Ἦχος, Α'.

Ἐγκαινίζου ἐγκαινίζου ἡ νέα Ἱερουσαλήμ. ἥκει γάρ σου τὸ φῶς, καὶ ἡ δόξα Κυρίου ἐπὶ σὲ ἀνατέταλκε. τοῦτον τὸν οἶκον ὁ Πατὴρ ᾠκοδόμησε. τοῦτον τὸν οἶκον ὁ Υἱὸς ἐστερέωσε. τοῦτον τὸν οἶκον τὸ Πνεῦμα τὸ ἅγιον ἀνεκαίνισε, τὸ φωτίζον, καὶ στηρίζον, καὶ ἁγιάζον τὰς ψυχὰς ἡμῶν.

Ὁ

(1) Τῶν ἐναποκειμένων. οὕτω παρὰ τῷ ξυγγρ. τῆς ἔμπροσθεν ἀκολουθίας.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ο' αὐτὸς.

Π'Αλαι μὲν ἐγκαινίζων τὸν Ναὸν ὁ Σολομὼν, ἀλόγων ζώων θυσίας, καὶ ὁλοκαυτώματα προσέφερε Κε. ὅτε δὲ εὐδόκησας Σωτὴρ τοὺς τύπους μὲν ἀργῆσαι, γνωσθῆναι δὲ τὴν ἀλήθειαν, ἀναιμάκτους θυσίας τὰ πέρατα τοῦ κόσμου προσφέρει τῇ δόξῃ σου. πάντων γὰρ δεσπόζων, τὰ πάντα ἁγιάζεις τῷ ἁγίῳ σου πνεύματι.

Η'χος, πλ. β'.

Ε'Γκαίνια τιμᾶσθαι παλαιὸς νόμος, καὶ καλῶς ἔχων. μᾶλλον δὲ τὰ νέα τιμᾶσθαι δι' ἐγκαινίων. ἐγκαινίζονται γὰρ Νῆσοι πρὸς θεὸν, ὡς φησὶν Η'σαΐας. ἅστινας ὑπολειπτέον τὰς ἐξ ἐθνῶν Ε'κκλησίας ἄρτι καθισαμένας, καὶ πῆξιν λαμβανούσας βάσιμον τῷ θῷ. διὸ καὶ ἡμεῖς τὰ παρόντα ἐγκαίνια πνευματικῶς πανηγυρίσωμεν.

Δόξα, καὶ νῦν. Η'χος, πλ. α'.

Ο' ἐπὶ τῶν κόλπων τῶν πατρικῶν. Ο'ρα ὄπισθεν φυλ. 16

Ο'ταν πάλιν φθάσωσιν ἔμπροσθεν τῶν πυλῶν τοῦ Ναοῦ τίθενται τὰ ἱερὰ λείψανα ἐπὶ τετραποδίου, καὶ εὐθὺς τὸ προκείμενον τοῦ Α'ποστόλου.

Κς φωτισμός μου καὶ σωτήρ μου, Κς ὑπερασπιστὴς τῆς ζωῆς μου.

Πρὸς Ε'βραίους ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα. Κέφ. β'. 11.

Α'Δελφοὶ, ὁ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι, ἐξ ἑνὸς πάντες. δι' ἣν αἰτίαν οὐκ ἐπαισχύνεται ἀδελφοὺς αὐτοὺς καλεῖν, λέγων. Α'παγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε. Καὶ πάλιν, ἐγὼ ἔσομαι πεποιθὼς ἐπ' αὐτῷ. καὶ πάλιν. Ι'δοὺ ἐγὼ καὶ τὰ παιδία, ἅ μοι ἔδωκεν ὁ Θεός. Ε'πεὶ οὖν τὰ παιδία κεκοινώνηκε σαρκὸς καὶ αἵματος, καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν, ἵνα διὰ τοῦ θανάτου καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέστι τὸν διάβολον. Καὶ ἀπαλλάξῃ τούτους ὅσοι φόβῳ θανάτου διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας. Οὐ γὰρ δήπου ἀγγέλων ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Α'βραὰμ ἐπιλαμβάνεται. Ο'θεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι, ἵνα ἐλεήμων γένηται καὶ πιστὸς ἀρχιερεὺς τὰ πρὸς τὸν Θν, εἰς τὸ ἱλάσκεσθαι τὰς ἁμαρτίας τοῦ λαοῦ. Ε'ν ᾧ γὰρ πέπονθεν αὐτὸς πειρασθεὶς, δύναται τοῖς πειραζομένοις βοηθῆσαι.

Καὶ τὸ Α'λληλούϊα, Α'λληλούϊα. ςί. Ε'γὼ πρὸς τὸν Θεὸν ἐκέκραξα. Εἶτα ὁ Α'ρχιερεὺς τὸ εὐαγγέλιον.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἐκ τοῦ κατὰ Ματθαῖον Ἁγίου Εὐαγγελίου. Κεφ. ιϛ΄. 13.

Τῷ καιρῷ ἐκείνῳ, ἐλθὼν ὁ Ἰησοῦς εἰς τὰ μέρη Καισαρείας τῆς Φιλίππου, ἠρώτα τοὺς μαθητὰς αὐτοῦ, λέγων· τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι, τὸν υἱὸν τοῦ ἀνθρώπου; Οἱ δὲ εἶπον· οἱ μὲν, Ἰωάννην τὸν Βαπτιστήν· ἄλλοι δὲ, Ἠλίαν· ἕτεροι δὲ, Ἱερεμίαν, ἢ ἕνα τῶν προφητῶν. Λέγει αὐτοῖς· ὑμεῖς δὲ τίνα με λέγετε εἶναι; Ἀποκριθεὶς δὲ Σίμων Πέτρος εἶπε· σὺ εἶ ὁ Χριστὸς, ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπεν αὐτῷ· μακάριος εἶ Σίμων βὰρ Ἰωνᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ σοι, ἀλλ' ὁ Πατήρ μου, ὁ ἐν τοῖς Οὐρανοῖς. Κἀγὼ δέ σοι λέγω, ὅτι σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. Καὶ δώσω σοι τὰς Κλεῖς τῆς Βασιλείας τῶν Οὐρανῶν. καὶ ὃ ἐὰν δήσῃς ἐπὶ τῆς γῆς, ἔσται δεδεμένον ἐν τοῖς Οὐρανοῖς. καὶ ὃ ἐὰν λύσῃς ἐπὶ τῆς γῆς, ἔσται λελυμένον ἐν τοῖς Οὐρανοῖς.

Καὶ πάλιν ἔρχονται γύρωθεν τοῦ Ναοῦ μετὰ τῶν ἁγίων λειψάνων, ψάλλοντες τὴν γ΄. ᾠδὴν τοῦ Κανόνος. καὶ ὅταν φθάσωσιν ἔμπροσθεν τῶν πυλῶν τοῦ Ναοῦ, λέγουσι τὸ προκείμενον τοῦ ἀποστόλου.

Ἀπενεχθήσονται τῷ βασιλεῖ παρθένοι ὀπίσω αὐτῆς. αἱ πλησίον αὐτῆς ἀπενεχθήσονταί σοι. Πρὸς Ἑβραίους Ἐπιστολῆς. Κεφ. θ΄. 1.

Ἀδελφοί, εἶχε μὲν ἡ πρώτη σκηνὴ δικαιώματα λατρείας, τό, τε ἅγιον κοσμικόν. Σκηνὴ γὰρ κατεσκευάσθη ἡ πρώτη, ἐν ᾗ ἥ τε λυχνία, καὶ ἡ Τράπεζα, καὶ ἡ πρόθεσις τῶν ἄρτων, ἥτις λέγεται Ἅγια. Μετὰ δὲ τὸ δεύτερον καταπέτασμα σκηνὴ ἡ λεγομένη ἅγια ἁγίων. Χρυσοῦν ἔχουσα θυμιατήριον, καὶ τὴν κιβωτὸν τῆς διαθήκης περικεκαλυμμένην πάντοθεν χρυσίῳ, ἐν ᾗ στάμνος χρυσῆ ἔχουσα τὸ μάννα, καὶ ἡ ῥάβδος Ἀαρὼν ἡ βλαστήσασα, καὶ αἱ πλάκες τῆς διαθήκης. Ὑπεράνω δὲ αὐτῆς Χερουβὶμ δόξης, κατασκιάζοντα τὸ ἱλαστήριον. περὶ ὧν οὐκ ἔστι νῦν λέγειν κατὰ μέρος. Τούτων δὲ οὕτω κατεσκευασμένων, εἰς μὲν τὴν πρώτην σκηνὴν διὰ παντὸς εἰσίασιν οἱ Ἱερεῖς τὰς λατρείας ἐπιτελοῦντες. Εἰς δὲ τὴν δευτέραν ἅπαξ τοῦ ἐνιαυτοῦ μόνος ὁ Ἀρχιερεὺς, οὐ χωρὶς αἵματος, ὃ προσφέρει ὑπὲρ ἑαυτοῦ, καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων.

Ἀλληλούϊα. ἦ. Ἄκουσον θύγατερ καὶ ἴδε.

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Λουκᾶν. Κεφ. ι΄. 38.

Τῷ Καιρῷ ἐκείνῳ, εἰσῆλθεν ὁ Ἰησοῦς εἰς Κώμην τινά. Γυνὴ δέ τις ὀνόματι Μάρθα ὑπεδέξατο αὐτὸν εἰς τὸν οἶκον αὐτῆς. Καὶ τῇδε ἦν ἀδελφὴ καλουμένη Μαρία, ἣ καὶ παρακαθίσασα παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ ἤκουε τὸν λόγον αὐτοῦ. Ἡ δὲ Μάρθα περιεσπᾶτο περὶ πολλὴν δια-

κονί-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κομίαν (1) ἐπιστᾶσα δὲ εἶπε· Κύριε, οὐ μέλει σοι ὅτι ἡ ἀδελφή μου μόνην με (2) ἐγκατέλιπε διακονεῖν; εἰπὲ οὖν αὐτῇ ἵνα μοι συναντιλάβηται. Ἀποκριθεὶς δὲ εἶπεν αὐτῇ ὁ Ἰησοῦς. Μάρθα Μάρθα, μεριμνᾷς καὶ τυρβάζῃ περὶ πολλά. Ἑνὸς δέ ἐστι χρεία. (3) Μαρία δὲ τὴν ἀγαθὴν μερίδα ἐξελέξατο, ἥτις οὐκ ἀφαιρεθήσεται ἀπ' αὐτῆς. (4) Ἐγένετο δὲ ἐν τῷ λέγειν αὐτὸν ταῦτα. ἐπάρασά τις γυνὴ φωνὴν ἐκ τοῦ ὄχλου εἶπεν αὐτῷ. μακαρία ἡ κοιλία ἡ βαστάσασά σε, καὶ μαστοὶ οὓς ἐθήλασας. Αὐτὸς δὲ εἶπε. (5) μενοῦνγε. μακάριοι οἱ ἀκούοντες τὸν λόγον τοῦ θεοῦ, καὶ φυλάσσοντες αὐτόν.

Καὶ πάλιν πορεύονται γύρωθεν τοῦ Ναοῦ ψάλλοντες τὴν ϛ'. ᾠδὴν τοῦ Κανόνος. Ἐρχόμενοι πρὸ τῶν πυλῶν τοῦ Ναοῦ ἐκφωνεῖ ὁ Ἀρχιερεύς.

Εὐλογητὸς εἶ Χριστὲ ὁ Θεὸς ἡμῶν εἰς τοὺς αἰῶνας, τῶν αἰώνων. Ἀμήν.

Εἶτα ψάλλουσι τὸ παρὸν τροπάριον, Ἦχος, γ'.

Ὁ Ἐν τῇ πέτρᾳ τῆς πίστεως οἰκοδομήσας τὴν ἐκκλησίαν σου Χριστὲ ὁ Θεὸς, ἐν αὐτῇ κατεύθυνον τὰς ἱκεσίας ἡμῶν, καὶ πρόσδεξαι λαὸν ἐν πίστει βοῶντά σοι, σῶσον ἡμᾶς ὁ Θεὸς ἡμῶν.

Ἐν δὲ τῷ ψάλλεσθαι τὸ εἰρημένον τροπάριον, ἀποτίθεται ὁ Ἀρχιερεὺς τὰ ἅγια λείψανα, ἐν τῷ ἑτοιμασθέντι τετραποδίῳ, ἔμπροσθεν τῶν πυλῶν τοῦ Ναοῦ. καὶ οὕτως ἐπεύχεται τὴν εὐχὴν ταύτην.

Ὁ Διάκονος. Τοῦ Κυρίου δεηθῶμεν. Ὁ Ἀρχιερεύς.

Ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας, ὁ διὰ τοῦ καταπετάσματος τῆς σαρκὸς αὐτοῦ ἐγκαινίσας ἡμῖν (6) τῆς τῶν προπατόρων Ἐκκλησίας τῶν ἐν Οὐρανοῖς ἀπογεγραμμένων τὴν εἴσοδον, ἔνθα ἦχος ἑορταζόντων, καὶ φωνὴ ἀγαλλιάσεως. αὐτὸς φιλάνθρωπε Δέσποτα, ἐπίβλεψον ἐφ' ἡμᾶς τοὺς ἁμαρτωλοὺς καὶ ἀναξίους δούλους σου, τοὺς τὸν (7) ἐγκαινισμὸν ἐπιτελοῦντας τοῦ σεβασμίου Ναοῦ, (Δόμος, εἰς σύμβολον τῆς ἁγιωτάτης σου Ἐκκλησίας, τοῦτ' ἔστιν, αὐτοῦ τοῦ σκήνους ἡμῶν, ὅπερ καὶ Ναόν σου (8) καὶ μέλη Χριστοῦ σου, (9) διὰ τοῦ πανευφήμου Ἀποστόλου Παύλου, ὀνομάσαι κατηξίωσας, καὶ τοῦτον στερέωσον μέχρι τῆς συντελείας τοῦ αἰῶνος ἀσάλευτον καὶ δεδοξασμένον ἐν σοὶ, καὶ ἀξίωσον ἡμᾶς ἐν αὐτῷ αἰνέσεις, καὶ δοξολογίας ἀκαταπαύστους προσάγειν τῇ δόξῃ σου

καὶ

(1) Στᾶσα. παρὰ τῷ Εὐαγγελιστῇ. (2) Κατέλιπε. παρὰ τῷ αὐτῷ. (3) Μαρία τὴν ἀγαθὴν, ἄνευ τοῦ, δέ. οὕτω παρὰ τῷ αὐτῷ. (4) Ἐνταῦθα ἀποκοπὴ γέγονε. τοῦτο γὰρ ἐν κζ'. ἐδαφ. τοῦ ιά. Κεφ. (5) Μενοῦνγε Μακάριοι, καὶ τὰ ἑξῆς, ἄνευ στιγμῆς. οὕτω παρὰ τῷ αὐτῷ. (6) Πρωτοτόκων. παρὰ τῷ συγγρ. τῆς ἑτέρας Ἀκολ. (7) ἐγκαινισμὸν Ἑορτάζοντας τοῦ ἁγίου τοῦ δεῖνος. παρὰ τῷ αὐτῷ. (8) Τοῦτο τὸ, καὶ μέλη Χριστοῦ σου, οὐχ εὕρηται παρ' αὐτῷ. (9) Διὰ τοῦ ἀποστόλου καὶ πανευφήμου Παύλου. παρὰ τῷ αὐτῷ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ... ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ τῷ μονογενεῖ σου Υἱῷ τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ, καὶ τῷ ἁγίῳ σου Πνεύματι, ἐν ἐπιγνώσει, καὶ πάσῃ αἰσθήσει. (1) καὶ προσκυνοῦντάς σε ἐν φόβῳ σου, τῶν θείων δειχθῆναι ἀξίους οἰκτιρμῶν. εὐπροσδέκτους τε τῇ σῇ ἀγαθότητι γενέσθαι τὰς δεήσεις ταύτας, (2) ἃς ὑπὲρ ἡμῶν καὶ παντὸς τοῦ λαοῦ σου τῇ ἀφάτῳ σου εὐσπλαγχνίᾳ προσάγομεν· πρεσβείαις τῆς ἀχράντου Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας.

Ἐκφώνησις.

Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν (3) καὶ ἁγίοις ἐπαναπαύῃ· καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Καὶ αὖθις ὁ Διάκονος Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ δὲ Ἀρχιερεὺς λέγει τὴν εὐχὴν τῆς εἰσόδου.

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καταστήσας (4) ἐν Οὐρανοῖς τάγματα, καὶ στρατιὰς Ἀγγέλων καὶ Ἀρχαγγέλων, εἰς λειτουργίαν τῆς σῆς δόξης, ποίησον σὺν τῇ εἰσόδῳ ἡμῶν εἴσοδον ἁγίων Ἀγγέλων γενέσθαι, συλλειτουργούντων ἡμῖν, (5) καὶ συνδοξολογούντων τὴν σὴν ἀγαθότητα.

Ἐκφώνησις.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι. νῦν, καὶ ἀεὶ, καὶ εἰς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Εἶτα ὁ Ἀρχιερεὺς, καὶ οἱ ψάλται μετὰ τῶν Κληρικῶν, τῶν πυλῶν κεκλεισμένων, ψάλλουσι τὸ παρὸν, εἰς Ἦχον, πλ. β'.

Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης.

Ἑτέρων δὲ ἀντιφωνούντων ἔσωθεν τοῦ Ναοῦ.

Τίς ἐστιν οὗτος ὁ Βασιλεὺς τῆς δόξης;

Ἡμεῖς πάλιν ἔξωθεν ἀντιφωνοῦμεν.

Κύ-

(1) Προσκυνοῦντάς σε, ἀντὶ τοῦ, Καί. οὕτω παρὰ τῷ ξυγγρ. τῆς ἐμπορ. ἀκολ.

(2) Τὰς ὑπὲρ ἡμῶν, καὶ παντὸς τοῦ λαοῦ σου τῇ ἀφάτῳ σου εὐσπλαγχνίᾳ προσαγομένας. παρὰ τῷ αὐτῷ.

(3) Καὶ ἐν ἁγίοις. παρὰ τῷ αὐτῷ.

(4) Ἐν Οὐρανῷ. παρὰ τῷ αὐτῷ.

(5) Λείπεται παρὰ τῷ αὐτῷ τὸ, καὶ συνδοξολογούντων.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Κύριος κραταιὸς ϗ δυνατὸς, Κς δυνατὸς ἐν πολέμῳ, Κς τῶν δυνάμεων αὐτός ὄζιν ὁ βασιλεὺς τῆς δόξης.

Ταῦτα δὲ ψάλλονται ἐκ γ. καὶ εὐθὺς ὁ ἀρχιερεὺς αἴρει τὰ ἅγια λείψανα μετὰ τοῦ δίσκȣ, καὶ τίθησιν ἐπὶ τῆς κεφαλῆς αὐτȣ, ϗ σφραγίζει τρὶς τὰς πύλας μετ' αὐτῶν τῶν λειψάνων, ϗ τῶν πυλῶν ἀνοιγομένων, καὶ πάντων εἰσερχομένων, ψάλλεται τὸ τροπάριον, εἰς Ἦχον, δ'.

Ὡ'Σ τȣ ἄνω σερεώματος τὴν εὐπρέπειαν, ϗ τὴν κάτω συναπέδειξας ὡραιότητα τȣ ἁγίȣ Σκηνώματος τῆς δόξης σȣ Κε. κραταίωσον αὐτὸν εἰς αἰῶνα αἰῶνος. ϗ πρόσδεξαι ἡμῶν τὰς ἐν αὐτῷ ἀπαύσως προσαγομένας σοι δεήσεις, διὰ τῆς Θκȣ, ἡ πάντων ζωὴ ϗ ἀνάστασις.

Καὶ εἰσερχομένων τοῦ τε Ἀρχιερέως, καὶ τῶν Ἱερέων ἐν τῷ ἁγίῳ Βήματι, ἀποτίθενται τὰ ἅγια λείψανα εἰς τὴν ἡτοιμασμένην αὐτοῖς θήκην. καὶ τȣ́τοις ἐπιχέεται ἅγιον μύρον, ϗ ἀσφαλίζȣσι ταῦτα μετὰ πάσης ἀσφαλείας, ϗ προσοχῆς μεγάλης. ϗ λέγȣσιν ἐκ γ. τὸ,

Αἰωνία ἡ μνήμη τῶν κτιτόρων τῆς ἁγίας μονῆς ταύτης.

Ὁ Διάκονος. Τȣ Κυρίȣ δεηθῶμεν.

Ὁ Ἀρχιερεὺς τὴν εὐχήν.

ΚΕ' ὁ Θεὸς ἡμῶν, ὁ ϗ ταύτην τὴν δόξαν τοῖς ὑπὲρ σȣ ἀθλήσασιν ἁγίοις Μάρτυσι δωρησάμενος, τὸ σπείρεσθαι ἐν πάσῃ τῇ γῇ τὰ Λείψανα αὐτῶν ἐν τοῖς ἁγίοις Οἴκοις σȣ, καὶ καρποὺς Ἰαμάτων βλαςάνειν. (1) αὐτὸς Δέσποτα, ὁ πάντων τῶν ἀγαθῶν χορηγὸς ὑπάρχων, πρεσβείαις τῶν ἁγίων ὧν εὐδόκησας τὴν ἀπόθεσιν τῶν Λειψάνων (2) ἐν τῷ σεπτῷ Οἴκῳ σȣ γενέσθαι, ἀξίωσον ἡμᾶς ἀκατακρίτως τὴν ἀναίμακτόν σοι προσενεγκεῖν ἐν αὐτῷ θυσίαν. ϗ δώρησαι ἡμῖν πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα, ἀνταμείψιν παρέχων ϗ ἐν τȣ́τῳ τοῖς ἀθλήσασιν ὑπὲρ τȣ ἁγίȣ ὀνόματός σȣ, τὸ θαυματȣργεῖν δι' αὐτῶν πρὸς ἡμετέραν σωτηρίαν. Ἐκφώνησις.

ὍΤι σȣ ὄζιν ἡ βασιλεία, (3) ϗ ἡ δύναμις, ϗ ἡ δόξα, τȣ Πρς, ϗ τȣ Υἱȣ, ϗ τȣ ἁγίȣ Πνς. νυν, ϗ ἀεὶ, ϗ εἰς τȣς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Ὁ'

(1) Αὐτὸς δέσποτα χορηγὸς πάντων τῶν ἀγαθῶν τυγχάνων. οὕτως εὕρηται παρὰ τῷ ξυγγραφεῖ τῆς ἔμπροσθεν ἀκολ:

(2) Ἐν τȣ́τῳ τῷ σεπτῷ Ναῷ γενέσθαι. οὕτω παρὰ τῷ αὐτῷ ξυγγ.

(3) Λείπεται παρὰ τῷ αὐτῷ ξυγγ. τὸ, καὶ ἡ δύναμις, καὶ ἡ δόξα.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ὁ Διάκονος. Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Ἀρχιερεὺς τὴν εὐχήν.

Κύριε ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ὁ πάντα ποιῶν καὶ πραγματευόμενος ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων, (1) πρόδεξαι ἡμῶν τῶν ἀναξίων δούλων σου τὰς δεήσεις, καὶ ἱκάνωσον ἡμᾶς ἐπὶ τῆς παρούσης ὥρας εἰς τὸ ἀκατακρίτως τὸν ἐγκαινισμὸν ἐπιτελέσαι τοῦ Ναοῦ τούτου, (2) τοῦ πρὸς σωτηρίαν ἡμῶν, καὶ τὴν σὴν δοξολογίαν οἰκοδομηθέντος, ἐπ᾽ ὀνόματι τοῦ ἁγίου (δεῖνος,) (3) καὶ τὴν ἔφοδον τῆς ἐν αὐτῷ (4) ποιῆσαι τραπέζης. Ἐκφώνησις. Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι. νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ μετὰ τὸ, ἀμήν. εἰσφέρουσι καὶ ἐκχέουσι τὴν κηρομαστίχην ἐν μέσῳ τοῦ φυτοῦ. καὶ συνεφαρμόζουσι τὰ χαρτία. καὶ ἐπιλαμβάνονται τῆς τραπέζης, καὶ τιθέασι ταύτην ἐπὶ τοῦ κίονος.

Εἶτα ψάλλουσι τὸν, ρμδ΄. Ψαλμὸν ἐκ γ΄.

Ὑψώσω σε ὁ Θεός μου, ὁ Βασιλεύς μου, καὶ εὐλογήσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Καθ᾽ ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Μέγας Κύριος καὶ αἰνετὸς σφόδρα, καὶ τῆς μεγαλωσύνης αὐτοῦ οὐκ ἔστι πέρας. Γενεὰ, καὶ γενεὰ ἐπαινέσει τὰ ἔργα σου, καὶ τὴν δύναμίν σου ἀπαγγελοῦσι. Τὴν μεγαλοπρέπειαν τῆς δόξης τῆς ἁγιωσύνης σου λαλήσουσι, καὶ τὰ θαυμάσιά σου διηγήσονται. Καὶ τὴν δύναμιν τῶν φοβερῶν σου ἐροῦσι, καὶ τὴν μεγαλωσύνην σου διηγήσονται. Μνήμην τοῦ πλήθους τῆς χρηστότητός σου ἐξερεύξονται, καὶ τῇ δικαιοσύνῃ σου ἀγαλλιάσονται. Οἰκτίρμων, καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος, καὶ πολυέλεος. Χρηστὸς Κύριος τοῖς σύμπασι, καὶ οἱ οἰκτιρμοὶ αὐτοῦ ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ. Ἐξομολογησάσθωσάν σοι Κύριε πάντα τὰ ἔργα σου, καὶ οἱ ὅσιοί σου εὐλογησάτωσάν σε. Δόξαν τῆς Βασιλείας σου ἐροῦσι, καὶ τὴν δυναστείαν σου λαλήσουσι. Τοῦ γνωρίσαι τοῖς υἱοῖς τῶν ἀνθρώπων τὴν δυναστείαν σου, καὶ τὴν δόξαν τῆς μεγαλοπρεπείας τῆς βασιλείας σου. Ἡ βασιλεία σου, βασιλεία πάντων τῶν αἰώνων, καὶ ἡ δεσποτεία σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ. Πιστὸς Κύριος ἐν πᾶσι τοῖς λόγοις αὐτοῦ, καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ. Ὑποστηρίζει Κύριος πάντας τοὺς καταπίπτοντας, καὶ ἀνορθοῖ πάντας τοὺς κατερραγμένους. Οἱ ὀφθαλμοὶ

παν-

(1) Πρόσδεξαι τὴν δέησιν ἡμῶν τῶν ἀναξίων δούλων σου. οὕτω παρὰ τῷ ξυγγ. τῆς ἐμπρ. ἀκολ. (2) Τοῦ πρὸς σὴν δοξολογίαν, ἀντὶ τοῦ, πρὸς σωτηρίαν ἡμῶν. οὕτω παρὰ τῷ αὐτῷ. (3) Τὴν ἔγερσιν. παρὰ τῷ αὐτῷ. (4) ποιήσασθαι. παρὰ τῷ αὐτῷ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πάντων εἰς σὲ ἐλπίζουσι, καὶ σὺ δίδως τὴν τροφὴν αὐτῶν ἐν εὐκαιρίᾳ. Ἀνοίγεις σὺ τὴν χεῖρά σου, καὶ ἐμπιπλᾷς πᾶν ζῶον εὐδοκίας. Δίκαιος Κύριος ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ, καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ. Ἐγγὺς Κύριος πᾶσι τοῖς ἐπικαλουμένοις αὐτόν, πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθείᾳ. Θέλημα τῶν φοβουμένων αὐτὸν ποιήσει, καὶ τῆς δεήσεως αὐτῶν εἰσακούσεται, καὶ σώσει αὐτούς. Φυλάσσει Κύριος πάντας τοὺς ἀγαπῶντας αὐτόν, καὶ πάντας τοὺς ἁμαρτωλοὺς ἐξολοθρεύσει. Αἴνεσιν Κυρίου λαλήσει τὸ στόμα μου, καὶ εὐλογείτω πᾶσα σὰρξ τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καὶ ξεομένης τῆς ἀπορραντάσης κηρομαστίχης, καθαιρομένου τε τοῦ τόπου ἐφ' οὗ ἔρραντε, λέγουσι τὸν κβ΄. ψαλμόν.

Κύριος ποιμαίνει με, καὶ οὐδέν με ὑστερήσει. εἰς τόπον χλόης, ἐκεῖ με κατεσκήνωσεν. Ἐπὶ ὕδατος ἀναπαύσεως ἐξέθρεψέ με, τὴν ψυχήν μου ἐπέστρεψεν. Ὡδήγησέ με ἐπὶ τρίβους δικαιοσύνης, ἕνεκεν τοῦ ὀνόματος αὐτοῦ. Ἐὰν γὰρ καὶ πορευθῶ ἐν μέσῳ σκιᾶς θανάτου, οὐ φοβηθήσομαι κακά, ὅτι σὺ μετ' ἐμοῦ εἶ. Ἡ ῥάβδος σου, καὶ ἡ βακτηρία σου, αὗταί με παρεκάλεσαν. Ἡτοίμασας ἐνώπιόν μου τράπεζαν, ἐξεναντίας τῶν θλιβόντων με. Ἐλίπανας ἐν ἐλαίῳ τὴν κεφαλήν μου, καὶ τὸ ποτήριόν σου μεθύσκον. ὡσεὶ κράτιστον. Καὶ τὸ ἔλεός σου καταδιώξει με, πάσας τὰς ἡμέρας τῆς ζωῆς μου. Καὶ τὸ κατοικεῖν με ἐν οἴκῳ Κυρίου εἰς μακρότητα ἡμερῶν.

Εἶτα ἐκφωνεῖ ὁ Ἀρχιερεὺς λέγων.

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ εὐθὺς φέρουσι τὸ σάβανον, καὶ περιτιθέασιν αὐτὸ ἐπὶ τὸν Ἀρχιερέα ἐπάνω τῶν ἀρχιερατικῶν Ἀμφίων, ἔμπροσθεν μὲν ἀπὸ τοῦ στήθους ἕως ποδῶν, ὄπισθεν δὲ ἀπὸ τῶν μασχάλων πρὸς τὴν ῥάχιν δι' ἀμφοτέρων τῶν ἄκρων φερόμενον, καὶ δεσμούμενον μετὰ ζώνης, τοῦ μὴ φαίνεσθαι τὰ ἱερατικὰ Ἄμφια. ἐν δὲ τοῖς βραχίοσι περιτυλίσσονται τὰ δύο καινὰ Μανδύλια, δεσμούμενα καὶ αὐτὰ μετὰ ζώνης. καὶ οὕτω στολισαμένου τοῦ Ἀρχιερέως, τίθεται πάκιον, καὶ προσκεφάλαιον ἔμπροσθεν τῶν ἁγίων θυρῶν.

Καὶ τοῦ Διακόνου λέγοντος, Ἔτι καὶ ἔτι κλίναντες τὰ γόνατα, τοῦ Κυρίου δεηθῶμεν. Ὁ Ἀρχιερεὺς γόνυ κλίνει, καὶ ἄρχεται.

Ὁ Θεὸς ὁ ἄναρχος καὶ ἀΐδιος, ὁ ἐκ μὴ ὄντων εἰς τὸ εἶναι τὰ πάντα παραγαγών, ὁ φῶς οἰκῶν ἀπρόσιτον, καὶ θρόνον ἔχων τὸν Οὐ-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ραμὸν, τὴν δὲ γῆν ὑποπόδιον, ὁ τῷ Μωϋσῇ πρόσταγμα δοὺς καὶ ὑπόγραμμον, τῷ δὲ Βεσελεὴλ Πνεῦμα σοφίας ἐνθεὶς, καὶ ἱκανώσας αὐτοὺς πρὸς ἀπαρτισμὸν τῆς τοῦ μαρτυρίου Σκηνῆς, ἐν ᾗ λατρείας δικαιώματα ἦν, τῆς ἀληθείας εἰκόνες καὶ προχαράγματα, ὁ τῷ Σολομῶντι πλάτος καὶ χύμα καρδίας δωρησάμενος, καὶ δι' αὐτοῦ τὸν πάλαι Ναὸν ἀναστήσας, τοῖς ἁγίοις δὲ καὶ πανευφήμοις σου Ἀποστόλοις τὴν ἐν Πνεύματι λατρείαν, καὶ τῆς Σκηνῆς τῆς ἀληθινῆς ἐγκαινίσας τὴν χάριν, καὶ δι' αὐτῶν τὰς ἁγίας σου Ἐκκλησίας, καὶ τὰ θυσιαστήριά σου Κύριε τῶν δυνάμεων, ἐν πάσῃ τῇ γῇ καταφυτεύσας, εἰς τὸ προσάγεσθαί σοι τὰς ἱερὰς καὶ ἀναιμάκτους θυσίας, ὁ καὶ τοῦτον τὸν Ναὸν νῦν εὐδοκήσας ἐπ' ὀνόματι οἰκοδομηθῆναι τοῦ Ἁγίου (τοῦ δεῖνος) πρὸς δόξαν σὴν, καὶ τοῦ μονογενοῦς σου Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. αὐτὸς ἀθάνατε μεγαλόδωρε Βασιλεῦ, μνήσθητι τῶν οἰκτιρμῶν σου, καὶ τὰ ἐλέη σου, ὅτι ἀπὸ τοῦ αἰῶνός εἰσι. καὶ μὴ βδελύξῃ ἡμᾶς πλήθει μεμολυσμένους ἁμαρτιῶν, καὶ μὴ βεβηλώσῃς τὴν διαθήκην σου διὰ τὴν ἡμετέραν ἀκαθαρσίαν· ἀλλὰ πάριδε καὶ νῦν τὰ παραπτώματα ἡμῶν, καὶ ἐνίσχυσον ἡμᾶς καὶ ἱκάνωσον, τῇ χάριτι καὶ ἐπιφοιτήσει τοῦ ἁγίου σου καὶ ζωοποιοῦ Πνεύματος, ἐκτελέσαι ἀκατακρίτως τὸν ἐγκαινιασμὸν τοῦ Ναοῦ τούτου, καὶ τοῦ ἐν αὐτῷ Θυσιαστηρίου ποιήσασθαι τὴν καθιέρωσιν. ἵνα καὶ ἐν τούτῳ εὐλογοῦντές σε ψαλμοῖς καὶ ὕμνοις καὶ μυστικαῖς λειτουργίαις, τὴν σὴν εὐσπλαγχνίαν διαπαντὸς μεγαλύνωμεν. ναὶ Δέσποτα Κύριε ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς, ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων σου, καὶ κατάπεμψον τὸ πανάγιόν σου Πνεῦμα, τὸ προσκυνητὸν, καὶ παντοδύναμον, καὶ ἁγίασον τὸν Οἶκον τοῦτον. πλήρωσον αὐτὸν φωτὸς ἀϊδίου, αἱρέτισον αὐτὸν εἰς κατοικίαν σὴν, ποίησον αὐτὸν σκήνωμα δόξης σου, κατακόσμησον αὐτὸν τοῖς θείοις σου καὶ ὑπερκοσμίοις χαρίσμασι, κατάστησον αὐτὸν λιμένα χειμαζομένων, ἰατρεῖον παθῶν, καταφυγὴν ἀσθενῶν, δαιμόνων φυγαδευτήριον, ἐν τῷ εἶναι τοὺς ὀφθαλμούς σου ἀνεῳγμένους ἐπ' αὐτὸν ἡμέρας καὶ νυκτὸς, καὶ τὰ ὦτά σου προσέχοντα εἰς τὴν δέησιν τῶν ἐν φόβῳ σου καὶ εὐλαβείᾳ ἐν αὐτῷ εἰσιόντων, καὶ ἐπικαλουμένων τὸ πάντιμον καὶ προσκυνητὸν ὄνομά σου. ὅσα ἂν αἰτήσωνταί σε καὶ σὺ ἀκούσεις ἐν τῷ οὐρανῷ ἄνω, καὶ ποιήσεις ἔλεος, καὶ ἵλεως ἔσῃ αὐτοῖς. φύλαξον αὐτὸν ἕως τῆς συντελείας τοῦ αἰῶνος ἀσάλευτον, καὶ τὸ ἐν αὐτῷ Θυσιαστήριον ἅγιον ἁγίων ἀνάδειξον τῇ δυνάμει καὶ ἐνεργείᾳ τοῦ ἁγίου σου Πνεύματος. δόξασον αὐτὸν ὑπὲρ τὸ κατὰ νόμον ἱλαστήριον, ὥστε τὰς

ἐν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐν αὐτῷ τελουμένας ἱερουργίας εἰς τὸ ἅγιον καὶ ὑπερουράνιον καὶ νοερόν σου Θυσιαστήριον καταντᾷν, καὶ τὴν χάριν ἡμῖν κομίζειν τῆς σῆς ἀχράντου ἐπισκιάσεως. Θαῤῥοῦμεν γὰρ, οὐκ εἰς τὴν τῶν ἡμετέρων τῶν ἀναξίων χειρῶν ὑπουργίαν, ἀλλ' εἰς τὴν σὴν ἄφατον ἀγαθότητα.

Ὁ Διάκονος. Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, ἀνάστησον, καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι.

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν. Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος.

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως, εὐλαβείας.

Ὑπὲρ τῶν εὐσεβῶν, καὶ ὀρθοδόξων.

Ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος) τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντὸς τοῦ Κλήρου, καὶ τοῦ λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν εὐσεβεστάτων, καὶ θεοφυλάκτων ἡμῶν βασιλέων, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ συμπολεμῆσαι, καὶ ὑποτάξαι ὑπὸ τοὺς πόδας αὐτῶν πάντα ἐχθρὸν καὶ πολέμιον, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἔργου τῶν χειρῶν ἡμῶν, καὶ τῶν συνόντων ἀδελφῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγιασθῆναι τὸν οἶκον τοῦτον, καὶ τὸ ἐν αὐτῷ θυσιαστήριον, τῇ ἐπιφοιτήσει, καὶ δυνάμει, καὶ ἐνεργείᾳ τοῦ ἁγίου πνεύματος, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἁγίας Μονῆς ταύτης, πάσης πόλεως, χώρας, καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων, καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι.

Τῆς παναγίας ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα. Ἐκφώνησις.

Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, καὶ ἁγίοις τοῖς ὑπὲρ σοῦ ἀθλήσασι τιμίοις Μάρτυσιν ἐπαναπαύῃ, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Εἶτα ἐρχόμενος ὁ Ἀρχιερεὺς ἔμπροσθεν τῆς ἁγίας Τραπέζης, ϗ λαβὼν τὰ Νίτρα, σφραγίζει ταῦτα ἐξ ἀμφοτέρων τῶν μερῶν τῷ τύπῳ τοῦ τιμίου Σταυροῦ, ϗ ῥίπτει αὐτὰ εἰς τὴν ἁγίαν Τράπεζαν Σταυροειδῶς. ϗ φέρουσι τὰ Σίτλα, ἤγουν τὰ ἀγγεῖα τοῦ ἁγίου Βαπτίσματος πεπληρωμένα ὕδατος χλιαροῦ. ϗ τοῦ Διακόνου εἰπόντος.

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Ἀρχιερεὺς κλίνας τὴν κεφαλὴν, ἐπεύχεται τὸ ὕδωρ.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἁγιάσας τὰ ῥεῖθρα τοῦ Ἰορδάνου διὰ τῆς σωτηριώδους σου ἐπιφανείας, αὐτὸς ϗ νῦν κατάπεμψον τὴν χάριν τοῦ παναγίου σου Πνεύματος ἐπὶ τὸ παρὸν σου Θυσιαστήριον, ϗ εὐλόγησον ἡμᾶς, ϗ τὸ ὕδωρ τοῦτο, πρὸς ἁγιασμὸν ϗ τελείωσιν τοῦ ἁγίου σου Θυσιαστηρίου. Ἐκφώνησις.

Ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ ἐπιχέει τὸ ὕδωρ τρὶς ἐπὶ τῆς Τραπέζης, λέγων.

Εἰς τὸ ὄνομα τοῦ Πατρὸς, ϗ τοῦ Υἱοῦ, ϗ τοῦ ἁγίου Πνεύματος. νῦν ϗ ἀεὶ, ϗ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ δι᾽ αὐτοῦ ἐκχυθέντος ὕδατος μετὰ τῶν ἐπιτεθέντων Νίτρων ἀποσμήχει τὴν τράπεζαν, εἶτα ἐκμάσσει αὐτὴν μετὰ τοῦ καινοῦ σπόγγου. τὸν δὲ Κίονα ἅτε μὴ δυνάμενος ταῖς χερσὶν ἀποσμῆξαι, ἐκπλύνει τε, ϗ ἐκμάσσει μετὰ τοῦ σπόγγου.

Ἐν δὲ τῷ γίνεσθαι ταῦτα, λέγεται ὁ πγ΄. Ψαλμός.

Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου Κύριε τῶν δυνάμεων, ἐπιποθεῖ, ϗ ἐκλείπει ἡ ψυχή μου εἰς τὰς αὐλὰς τοῦ Κυρίου. Ἡ καρδία μου, ϗ ἡ σάρξ μου ἠγαλλιάσαντο ἐπὶ Θεὸν ζῶντα. Καὶ γὰρ στρουθίον εὗρεν ἑαυτῷ οἰκίαν, ϗ τρυγὼν νοσσιὰν ἑαυτῇ, οὗ θήσει τὰ νοσσία ἑαυτῆς. Τὰ θυσιαστήριά σου Κύριε τῶν δυνάμεων, ὁ Βασιλεύς μου καὶ ὁ Θεός μου. Μακάριοι οἱ κατοικοῦντες ἐν τῷ οἴκῳ σου, εἰς τοὺς αἰῶνας τῶν αἰώνων αἰνέσουσί σε. Μακάριος ἀνὴρ, ᾧ ἐστιν ἀντίληψις αὐτῷ παρὰ σοί. Ἀναβάσεις ἐν τῇ καρδίᾳ αὐτοῦ διέθετο. εἰς τὴν κοιλάδα τοῦ κλαυθμῶνος, εἰς τὸν τόπον ὃν ἔθετο. Καὶ γὰρ εὐλογίας δώσει ὁ νομοθετῶν. πορεύσονται ἐκ δυνάμεως εἰς δύναμιν, ὀφθήσεται ὁ Θεὸς τῶν Θεῶν ἐν Σιών. Κύριε ὁ Θεὸς τῶν δυνάμεων, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι ὁ Θεὸς Ἰακώβ. Ὑπερασπιστὰ ἡμῶν ἴδε ὁ Θεὸς, ϗ ἐπίβλεψον εἰς τὸ πρόσωπον τοῦ Χριστοῦ σου. Ὅτι κρείσσων ἡμέρα μία ἐν ταῖς αὐλαῖς σου ὑπὲρ χιλιάδας. Ἐξελεξάμην παραῤῥιπτεῖσθαι ἐν τῷ οἴκῳ τοῦ Θεοῦ μου μᾶλλον, ἢ οἰκεῖν με ἐν σκηνώμασιν ἁμαρτωλῶν. Ὅτι ἔ-

λεος,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λεος, καὶ ἀλήθειαν ἀγαπᾷ Κύριος ὁ Θεὸς, χάριν καὶ δόξαν δώσει Κύριος, Οὐ στερήσει τὰ ἀγαθὰ τοῖς πορευομένοις ἐν ἀκακίᾳ. Κύριε ὁ Θεὸς τῶν δυνάμεων, μακάριος ἄνθρωπος ὁ ἐλπίζων ἐπὶ σέ.

Ψάλλουσι δὲ τοῦτον πάντες, ἕως οὗ τελείως ἀποσμήξῃ αὐτὴν, καὶ ἀποπλυνῇ. Καὶ τότε ὁ Ἀρχιερεὺς δοξάζει λέγων·

Δόξα τῷ Θεῷ ἡμῶν εἰς τοὺς αἰῶνας.

Τῶν δὲ ἱερέων πλησίον τοῦ Ἀρχιερέως ἱσταμένων, καὶ τὰ Ἀντιμίνσια ταῖς τέσσαρσι γωνίαις τῆς Τραπέζης ἐπιτιθέντων, λαμβάνει ὁ Ἀρχιερεὺς Βικίον Οἰνάνθης, ἢ Ῥοδοστάμου, ἢ Οἴνου πλῆρες, καὶ ἐπιχέων πλύνει τὴν ἁγίαν Τράπεζαν, καὶ ἐκμάσσει αὐτὴν μετὰ τῶν ἀντιμινσίων, λέγων.

Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι. πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι. Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Λέγεται δὲ τοῦτο ἐκ γ. εἶθ' οὕτω καὶ τὸ λοιπόν.

Εἶτα δοξάζει ὁ Ἀρχιερεὺς τὸν Θεὸν, λέγων.

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Εἶτα λαμβάνει ἀγγεῖον Μύρου καθαροῦ πεπληρωμένον, ἢ μετὰ Ἐλαίου διὰ σπάνιν μεμιγμένου, καὶ τοῦ Διακόνου λέγοντος, Πρόσχωμεν. Ὁ Ἀρχιερεὺς ἐπιχέων τῇ ἁγίᾳ Τραπέζῃ, λέγει τρὶς τὸ, Ἀλληλούϊα, ὥσπερ καὶ ἐπὶ τοῦ Βαπτίσματος. Καὶ δι' αὐτοῦ ποιεῖ Σταυροὺς τρεῖς, μέσον ἕνα, καὶ δύο ἑκατέρωθεν. Καὶ ἀποδιδοὺς τὸ ἀγγεῖον τοῦ Μύρου, ἀλείφει τῇ χειρὶ διὰ τῶν τριῶν ἐκείνων Σταυρῶν πᾶσαν τὴν ἁγίαν Τράπεζαν· ποιεῖ δὲ καὶ Σταυροὺς εἰς τὸν Κίονα τῆς Τραπέζης δι' αὐτοῦ, λέγων τὸν ρλβ'. Ψαλμόν.

Ἰδοὺ δὴ τί καλὸν, ἢ τί τερπνὸν, ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό: Ὡς μῦρον ἐπὶ κεφαλῆς, τὸ καταβαῖνον ἐπὶ πώγωνα, τὸν πώγωνα τὸν Ἀαρὼν, Τὸ καταβαῖνον ἐπὶ τὴν ὤαν τοῦ ἐνδύματος αὐτοῦ. ὡς δρόσος Ἀερμὼν, ἡ καταβαίνουσα ἐπὶ τὰ ὄρη Σιών. Ὅτι ἐκεῖ ἐνετείλατο Κύριος τὴν εὐλογίαν, ζωὴν ἕως τοῦ αἰῶνος.

Εἶτα λέγει.

Δόξα τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι. νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Δόξα σοι ἁγία Τριὰς, ὁ Θεὸς ἡμῶν δόξα σοι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἐκμασ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἐκμασσομένης δὲ τῆς Τραπέζης μετὰ τῶν Ἀντιμινσίων, ταῦτα παρὰ τῶν Ἱερέων αὖθις μετατίθενται. Εἶτα δὴ ταῖς τέσσαρσι τῆς Τραπέζης γωνίαις τὰ τέσσαρα ὑφάσματα ἐπιτιθέασιν, ἢ ἀντ' αὐτῶν τὰ χαρτία προσκολλῶντες ταῦτα μετὰ τῆς Κηρομαστίχης. ὁ δὲ Ἀρχιερεὺς λαμβάνει τὸ λεγόμενον κατασάρκιον. οὗ τῇ Τραπέζῃ ἐφαπλωμένου, δεσμοῦνται οἱ σχοῖνοι Σταυροειδῶς ὑποκάτωθεν τῆς ἁγίας Τραπέζης εἰς τὸ Κίονα. ἐν ὅσῳ δὲ ταῦτα γίνεται, λέγεται ὁ ρλά. Ψαλμός.

Μνήσθητι Κύριε τοῦ Δαβίδ, καὶ πάσης τῆς πρᾳότητος αὐτοῦ. Ὡς ὤμοσε τῷ Κυρίῳ, ηὔξατο τῷ Θεῷ Ἰακώβ. Εἰ εἰσελεύσομαι εἰς σκήνωμα οἴκου μου, εἰ ἀναβήσομαι ἐπὶ κλίνης στρωμνῆς μου. Εἰ δώσω ὕπνον τοῖς ὀφθαλμοῖς μου, καὶ τοῖς βλεφάροις μου νυσταγμὸν, καὶ ἀνάπαυσιν τοῖς κροτάφοις μου. Ἕως οὗ εὕρω τόπον τῷ Κυρίῳ, σκήνωμα τῷ Θεῷ Ἰακώβ. Ἰδοὺ ἠκούσαμεν αὐτὴν ἐν Εὐφραθᾷ, εὕρομεν αὐτὴν ἐν τοῖς πεδίοις τοῦ δρυμοῦ. Εἰσελευσόμεθα εἰς τὰ σκηνώματα αὐτοῦ, προσκυνήσωμεν εἰς τὸν τόπον, οὗ ἔστησαν οἱ πόδες αὐτοῦ. Ἀνάστηθι Κύριε εἰς τὴν ἀνάπαυσίν σου, σὺ καὶ ἡ κιβωτὸς τοῦ ἁγιάσματός σου. Οἱ Ἱερεῖς σου ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται. Ἕνεκεν Δαβὶδ τοῦ δούλου σου, μὴ ἀποστρέψῃς τὸ πρόσωπον τοῦ Χριστοῦ σου. Ὤμοσε Κύριος τῷ Δαβὶδ ἀλήθειαν, καὶ οὐ μὴ ἀθετήσει αὐτήν. Ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τοῦ θρόνου σου, Ἐὰν φυλάξωνται οἱ υἱοί σου τὴν διαθήκην μου, καὶ τὰ μαρτύριά μου ταῦτα, ἃ διδάξω αὐτούς. Καὶ οἱ υἱοὶ αὐτῶν ἕως τοῦ αἰῶνος καθιοῦνται ἐπὶ τοῦ θρόνου σου. Ὅτι ἐξελέξατο Κύριος τὴν Σιὼν, ᾑρετίσατο αὐτὴν εἰς κατοικίαν ἑαυτῷ. Αὕτη ἡ κατάπαυσίς μου εἰς αἰῶνα αἰῶνος. ὧδε κατοικήσω, ὅτι ᾑρετισάμην αὐτήν. Τὴν θήραν αὐτῆς εὐλογῶν εὐλογήσω, τοὺς πτωχοὺς αὐτῆς χορτάσω ἄρτων. Τοὺς ἱερεῖς αὐτῆς ἐνδύσω σωτηρίαν, καὶ οἱ ὅσιοι αὐτῆς ἀγαλλιάσει ἀγαλλιάσονται. Ἐκεῖ ἐξανατελῶ κέρας τῷ Δαβὶδ, ἡτοίμασα λύχνον τῷ Χριστῷ μου. Τοὺς ἐχθροὺς αὐτοῦ ἐνδύσω αἰσχύνην, ἐπὶ δὲ αὐτὸν ἐξανθήσει τὸ ἁγίασμά μου.

Καὶ τούτου πληρουμένου, λέγει ὁ Ἀρχιερεύς.

Δόξα τῷ Θεῷ ἡμῶν εἰς τοὺς αἰῶνας. Ἀμήν.

Μετὰ δὲ ταῦτα νιπτόμενος τὰς χεῖρας ἔντινι ἀγγείῳ καινῷ, ἢ ἐν τῷ χωνευτηρίῳ, ὥστε μηδόλως ἐκχυθῆναι ἔξωθεν οὐδὲ ῥανίδα μίαν, μετὰ μεγάλης εὐλαβείας καὶ προσοχῆς, μανδυλίῳ τε καινῷ ταύτας ἐκμάσσων, λαμβάνει τὸν ἐπενδύτην, ἤτοι τὸ ἅπλωμα τῆς ἁγίας Τραπέζης, ἧς παρ' αὐτοῦ ἐφαπλουμένης, λέγεται, ὁ ϙβ. Ψαλμός.

Ὁ Κύ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ο' Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο. Ε'νεδύσατο Κύριος δύναμιν, καὶ περιεζώσατο. Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται. Ε῞τοιμος ὁ θρόνος σου ἀπὸ τότε, ἀπὸ τοῦ αἰῶνος σὺ εἶ. Ε'πῆραν οἱ ποταμοὶ Κύριε, ἐπῆραν οἱ ποταμοὶ φωνὰς αὐτῶν, Α'ροῦσιν οἱ ποταμοὶ ἐπιτρίψεις αὐτῶν, ἀπὸ φωνῶν ὑδάτων πολλῶν. Θαυμαστοὶ οἱ μετεωρισμοὶ τῆς θαλάσσης, θαυμαστὸς ἐν ὑψηλοῖς ὁ Κύριος. Τὰ μαρτύριά σου ἐπιστώθησαν σφόδρα. Τῷ οἴκῳ σου πρέπει ἁγίασμα Κύριε, εἰς μακρότητα ἡμερῶν.

Καὶ οὕτω δοξάζει ὁ Α'ρχιερεὺς, λέγων.

Δόξα σοι ἁγία Τριὰς, ὁ Θεὸς ἡμῶν δόξα σοι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ μετὰ τὸ, Α'μήν. Ε'φαπλοῖ ὁ Α'ρχιερεὺς τῇ Τραπέζῃ τὰ Α'ντιμίνσια, θάτερον θατέρῳ ἐπιτιθέμενος. Εἶτα ἐφαπλοῖ καὶ τούτοις τὸ τῆς ἐκκλησίας ἀντιμίνσιον, καὶ ἐπ' αὐτῷ τίθησι τὸ ἱερὸν Εὐαγγέλιον, καὶ γίνεται ἀσπασμός.

Εἶτα θυμιᾷ τὴν ἁγίαν Τράπεζαν, καὶ τὸ Ἱερατεῖον, καὶ ὅλον τὸν Ναόν. λέγεται δὲ ὁ κέ. Ψαλμὸς ἅπαξ, ἕως οὗ ἀποθυμιάσῃ ὁ Α'ρχιερεύς.

Κρῖνόν μοι Κύριε, ὅτι ἐγὼ ἐν ἀκακίᾳ μου ἐπορεύθην, καὶ ἐπὶ τῷ Κυρίῳ ἐλπίζων, οὐ μὴ ἀσθενήσω. Δοκίμασόν με Κύριε, καὶ πείρασόν με. πύρωσον τοὺς νεφροὺς μου, καὶ τὴν καρδίαν μου. Ο῞τι τὸ ἔλεός σου κατέναντι τῶν ὀφθαλμῶν μου ἐστὶ, καὶ εὐηρέστησα ἐν τῇ ἀληθείᾳ σου. Οὐκ ἐκάθισα μετὰ συνεδρίου ματαιότητος, καὶ μετὰ παρανομούντων οὐ μὴ εἰσέλθω. Ε'μίσησα ἐκκλησίαν πονηρευομένων, καὶ μετὰ ἀσεβῶν οὐ μὴ καθίσω. Νίψομαι ἐν ἀθώοις τὰς χεῖρας μου, κυκλώσω τὸ θυσιαστήριόν σου Κύριε. Τοῦ ἀκοῦσαί με φωνῆς αἰνέσεώς σου, καὶ διηγήσασθαι πάντα τὰ θαυμάσιά σου. Κύριε ἠγάπησα εὐπρέπειαν οἴκου σου, καὶ τόπον σκηνώματος δόξης σου. Μὴ συναπολέσῃς μετὰ ἀσεβῶν τὴν ψυχήν μου, καὶ μετὰ ἀνδρῶν αἱμάτων τὴν ζωήν μου. Ω῏ν ἐν χερσὶν αἱ ἀνομίαι. ἡ δεξιὰ αὐτῶν ἐπλήσθη δώρων. Ε'γὼ δὲ ἐν ἀκακίᾳ μου ἐπορεύθην. Λύτρωσαί με Κύριε, καὶ ἐλέησόν με. Ο' πούς μου ἔστη ἐν εὐθύτητι. Ε'ν Ε'κκλησίαις εὐλογήσω σε Κύριε.

Μετὰ δὲ τὸ θυμιάσαι τὸν Α'ρχιερέα, εἷς τῶν ἱερέων, ἢ καὶ Α'ρχιερέων, ὄπισθεν ἐπακολουθεῖ βαστάζων τὸ τοῦ Μύρου ἀγγεῖον, καὶ ποιεῖ Σταυροὺς ἐκ τοῦ Μύρου εἰς ἕνα ἕκαστον Κίονα, καὶ πλησίον τοῦ Ναοῦ. Συμπληρουμένης δὲ τῆς θυμιάσεως, καὶ τοῦ ψαλμοῦ, δοξάζουσιν οὕτω.

Δόξα τῇ ἁγίᾳ καὶ παντοδυνάμῳ καὶ ζωοποιῷ Τριάδι πάντοτε, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Καὶ γίνεται μικρὰ συναπτὴ παρὰ τοῦ Διακόνου·

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι.

Τῆς παναγίας ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Ἀρχιερεὺς ἐκφωνεῖ.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι· νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Διάκονος. Τοῦ Κυρίου δεηθῶμεν. Ὁ Ἀρχιερεύς.

Κύριε ὁ Θεὸς ἡμῶν τοῦ οὐρανοῦ, καὶ τῆς γῆς, ὁ τὴν ἁγίαν σου ἐκκλησίαν ἀρρήτῳ σοφίᾳ θεμελιώσας, καὶ ἀντίτυπον τῆς ἀγγελικῆς ἐν οὐρανῷ λειτουργίας τὴν τῆς ἱερωσύνης τάξιν ἐπὶ τῆς γῆς συστησάμενος. σὺ δέσποτα μεγαλόδωρε, πρόσδεξαι καὶ νῦν δεομένους ἡμᾶς, οὐχ ὡς ἀξίους ὄντας περὶ τηλικούτων αἰτεῖν, ἀλλ' ἵνα τὸ ὑπερβάλλον δειχθῇ τῆς σῆς ἀγαθότητος. οὐ γὰρ ἐπαύσω τὸ ἀνθρώπινον γένος πολυτρόπως εὐεργετῶν, κεφάλαιον δὲ ἐδωρήσω τῶν σῶν εὐεργεσιῶν τὴν ἐν σαρκὶ τοῦ μονογενοῦς σου παρουσίαν. ὃς ἐπὶ γῆς ὀφθεὶς, καὶ λάμψας τοῖς ἐν σκότει, φῶς σωτηρίας, ἀνήνεγκεν ἑαυτὸν ὑπὲρ ἡμῶν θυσίαν, καὶ γέγονε τοῦ κόσμου παντὸς ἱλαστήριον, κοινωνοὺς ἡμᾶς τῆς ἰδίας ἀναστάσεως ποιησάμενος, καὶ ἀναληφθεὶς εἰς οὐρανοὺς, ἐνέδυσε τοὺς ἑαυτοῦ μαθητὰς, καὶ ἀποστόλους, καθὼς ἐπηγγείλατο δύναμιν ἐξ ὕψους, ἥτις ἐστὶ τὸ πνεῦμα τὸ ἅγιον, τὸ προσκυνητὸν, καὶ παντοδύναμον, τὸ ἐκ σοῦ τοῦ Θεοῦ, καὶ πατρὸς ἐκπορευόμενον. δι' οὗ γενόμενοι δυνατοὶ ἐν ἔργῳ καὶ λόγῳ βάπτισμα παρέδωκαν υἱοθεσίας, Ἐκκλησίας ἀνέστησαν, ἵδρυσαν θυσιαστήρια, ἱερωσύνης ἔθεντο κανόνας καὶ νόμους. ὧν ἡμεῖς οἱ ἁμαρτωλοὶ κατέχοντες τὴν παράδοσιν, προσπίπτομέν σοι τῷ αἰωνίῳ Θεῷ, καὶ δεόμεθά σου, εὔσπλαγχνε, τὸν πρὸς τὴν σὴν ὑμνῳδίαν οἰκοδομηθέντα τοῦτον Ναὸν, τῆς θείας σου πλήρωσον δόξης, καὶ τὸ παρὸν Θυσιαστήριον ἅγιον ἁγίων ἀνάδειξον. ὥστε ἡμᾶς παρεστῶτας αὐτῷ, ὡς φρικτῷ τῆς βασιλείας σου θρόνῳ, ἀκατακρίτως λατρεύειν σοι, δεήσεις ὑπὲρ ἡμῶν, καὶ παντὸς τοῦ λαοῦ σου ἀναπέμποντας, καὶ τὴν ἀναίμακτον Θυσίαν τῇ σῇ προσφέροντας ἀγαθότητι, εἰς ἑκουσίων καὶ ἀκουσίων ἁμαρτημάτων συγχώρησιν, εἰς κυβέρνησιν βίου, εἰς ἀγαθῆς πολιτείας κατόρθωσιν, εἰς ἐκπλήρωσιν

πάσης

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πάσης δικαιοσύνης Ἐκφώνησις. Ὅτι ηὐλόγηται σου τὸ πανάγιον ὄνομα, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων:~

Λέγει ὁ Ἀρχιερεὺς. Εἰρήνη πᾶσιν. Ὁ Διάκονος: Τὰς Κεφαλὰς ἡμῶν τῷ Κῷ κλίνωμεν.

Καὶ ὁ Ἀρχιερεὺς εὔχεται:

Εὐχαριστοῦμεν σοι Κέ ὁ Θεὸς ἡμῶν, ὅτι ἣν ἐξέχεας χάριν ἐπὶ τοὺς ἁγίους σου ἀποστόλους, καὶ ὁσίους ἡμῶν πρὰς, ἠξίωσας διὰ πολλὴν σου φιλανθρωπίαν, καὶ μέχρις ἡμῶν τῶν ἁμαρτωλῶν, καὶ ἀχρείων δούλων σου ἐκτεῖναι. διὸ δεόμεθά σου Δέσποτα πολυέλεε, πλήρωσον δόξης, καὶ ἁγιασμοῦ, καὶ χάριτος τὸ Θυσιαστήριον τοῦτο. ὥστε μεταποιεῖσθαι τὰς ἐν αὐτῷ προσφερομένας σοι ἀναιμάκτους θυσίας, εἰς τὸ ἄχραντον Σῶμα, καὶ τὸ τίμιον Αἷμα τοῦ μεγάλου Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ μονογενοῦς σου Υἱοῦ, πρὸς σωτηρίαν παντὸς τοῦ λαοῦ σου, καὶ τῆς ἡμῶν ἀναξιότητος. Ἐκφώνησις.

Σὺ γὰρ εἶ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνι. νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων:~

Ἐν εἰρήνῃ προέλθωμεν. Προκείμενον τοῦ Ἀποστόλου. Τῷ οἴκῳ σου πρέπει ἁγίασμα Κέ. Στίχος: Ὁ Κς ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο.

Πρὸς ἑβραίους Ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα. Κεφ. γ'. α.

Ἀδελφοὶ ἅγιοι κλήσεως ἐπουρανίου μέτοχοι, κατανοήσατε τὸν ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν Χν Ιν, Πιστὸν ὄντα τῷ ποιήσαντι αὐτὸν, ὡς καὶ Μωσῆς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ. Πλείονος γὰρ δόξης οὗτος παρὰ Μωσῆν ἠξίωται, καθ᾽ ὅσον πλείονα τιμὴν ἔχει τοῦ οἴκου ὁ κατασκευάσας αὐτόν· πᾶς γὰρ οἶκος κατασκευάζεται ὑπό τινος. ὁ δὲ τὰ πάντα κατασκευάσας, Θεός:~

Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ἰωάννην ἁγίου Εὐαγγελίου. Κεφ. ι. 22.

Τῷ καιρῷ ἐκείνῳ ἐγένετο τὰ ἐγκαίνια ἐν ἱεροσολύμοις, καὶ χειμὼν ἦν. Καὶ περιεπάτει ὁ Ἰησοῦς ἐν τῷ ἱερῷ, ἐν τῇ στοᾷ Σολομῶντος. Ἐκύκλωσαν οὖν αὐτὸν οἱ ἰουδαῖοι, καὶ ἔλεγον αὐτῷ. ἕως πότε τὴν ψυχὴν ἡμῶν αἴρεις; εἰ σὺ εἶ ὁ Χριστὸς, εἰπὲ ἡμῖν παῤῥησίᾳ. Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς. Εἶπον ὑμῖν, καὶ οὐ πιστεύετε. τὰ ἔργα ἃ ἐγὼ ποιῶ ἐν τῷ ὀνόματι τοῦ Πατρός μου, ταῦτα μαρτυρεῖ περὶ ἐμοῦ. Ἀλλ᾽ ὑμεῖς οὐ πιστεύετε. οὐ γὰρ ἐστὲ ἐκ τῶν προβάτων τῶν ἐμῶν, καθὼς



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

θῶς εἶπον ὑμῖν. Τὰ πρόβατα τὰ ἐμὰ τῆς φωνῆς μου ἀκούει, κἀγὼ γινώσκω αὐτὰ, καὶ ἀκολουθοῦσί μοι, Κἀγὼ ζωὴν αἰώνιον δίδωμι αὐτοῖς, καὶ οὐ μὴ ἀπόλωνται εἰς τὸν αἰῶνα, καὶ οὐχ ἁρπάσει τις αὐτὰ (1) ἐκ τῶν χειρῶν μου. Ὁ Πατήρ μου ὃς δέδωκέ μοι, μείζων πάντων ἐστί. καὶ οὐδεὶς δύναται (2) ἁρπάσαι αὐτὰ ἐκ τῆς χειρός μου. Ἐγὼ καὶ ὁ Πατήρ μου ἕν ἐσμέν.

Εἶτα κομίζεται τῷ Ἀρχιερεῖ Κανδήλα καινὴ, καὶ Θρυαλλὶς, καὶ Ἔλαιον. καὶ αὐτὸς ταῖς ἰδίαις χερσὶ πληρῶν ἐλαίου τὴν Κανδήλαν, ἀνάπτει τὴν Θρυαλλίδα, καὶ ἀποτίθησι τῷ ἁγίῳ Θυσιαστηρίῳ. Καὶ λοιπὸν ἀποτιθέμενος τό, τε Σάβανον, καὶ τὰ Μανδύλια, καὶ τὴν Ζώνην, ἐπιτρέπει ἐκκλησιαστικοῖς ὑπηρέταις, εἰσάγειν Κανδήλας, καὶ Κηροὺς, καὶ ἐγκοσμίζεται ὁ Ναός. Τούτων δὲ γενομένων, ψάλλεται δόξα, τὸ ἰδιόμελον τοῦ ἁγίου. καὶ νῦν. τῶν ἐγκαινίων. ἦχος πλ. β΄.

Τὴν μνήμην τῶν ἐγκαινίων ἐπιτελοῦντες Κύριε σὲ τὸν ἁγιασμοῦ δοτῆρα δοξάζομεν, δεόμενοι ἁγιασθῆναι ἡμῶν τὰ αἰσθητήρια τῶν ψυχῶν, τῇ πρεσβείᾳ τῶν ἁγίων ἐνδόξων ἀθλοφόρων, ἀγαθὲ παντοδύναμε.

Εἶτα τὸ, Τρισάγιον. Παναγία τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ. Τὸ Τροπάριον τοῦ ἁγίου τῆς Μονῆς, καὶ τῶν ἐγκαινίων. ἦχος, δ΄.
Ὡς τοῦ ἄνω στερεώματος. ὅρα φύλ. 23.

Εἶτα ἐκτενὴ παρὰ τοῦ Διακόνου.

Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν Κτιτόρων τῆς ἁγίας Μονῆς ταύτης, καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτοῖς πᾶν πλημμέλημα ἑκούσιόν τε, καὶ ἀκούσιον.

Καὶ λέγεται τὸ, Κύριε ἐλέησον ἐκ γ΄. Ὁ Ἀρχιερεύς.

Ὅτι ἐλεήμων, καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι. νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Καὶ Ἀπόλυσις.

Εἰς τὴν λειτουργίαν Τυπικὰ, καὶ ἐκ τοῦ Κανόνος τῶν ἐγκαινίων, καὶ τοῦ ἁγίου τῆς Μονῆς. Ὁμοίως καὶ Ἀπόστολον, καὶ Εὐαγγέλιον.

Κα-

(1) Ἐκ τῆς χειρός μου. οὕτω παρὰ τῷ Εὐαγγελιστῇ. (2) Ἁρπάζειν ἐκ τῆς ψειρὸς τοῦ Πατρός μου. οὕτω παρὰ τῷ αὐτῷ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

## Κοινωνικόν.

Κύριε, ἠγάπησα εὐπρέπειαν οἴκου σου, καὶ τόπον σκηνώματος δόξης σου.

Δεῖ εἰδέναι ὅτι ἡ συνήθης λειτουργία τελεῖται δι' ἡμερῶν ἑπτὰ καθ' ἑκάστην ἐν τῷ Ναῷ αὐτῷ. Τὰ δὲ Ἀντιμίνσια ἐπικείμενα ἐπὶ τῷ τῆς ἁγίας Τραπέζης ἀπλώματι, μετὰ τὴν ζ'. ἡμέραν αἴρονται. καὶ λοιπὸν εἰς αὐτὰ οὐδεμία τις ἄλλη καθιέρωσις γίγνεται, διὰ τὸ εἶναι ἡγιασμένα. ἀλλὰ μόνον ἐπιγράφονται οὕτω.

Θυσιαστήριον θεῖον, καὶ ἱερουργηθὲν, τοῦ τελεῖσθαι δι' αὐτοῦ τὰς θείας ἱερουργίας. καθιερωθὲν παρὰ τοῦ Πανιερωτάτου Μητροπολίτου (δεῖνος) Κυροῦ (δεῖνος) ἐν ἔτει σωτηρίῳ. Μηνί. ἰνδικτιῶνος (δεῖνος,) καὶ δίδονται ὅπου ἂν ἡ χρεία.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΕΤΕΡΑ ΤΑΞΙΣ, ΚΑΙ ΑΚΟΛΟΥΘΙΑ

## Ἐπὶ Καθιερώσει Ναοῦ.

ΠΡὸ μιᾶς ἡμέρας, καταλαμβάνει τὸν τοιοῦτον Ναὸν ὁ ἐπὶ τῶν χειροτονιῶν, ἤγουν ὁ Ἱερομνήμων, ἢ ἕτερός τις Ἐκκλησιαστικὴν πεπιστευμένος διακονίαν. Παρασκευάζει τε τοὺς λιθοξόους εὐτρεπίσαι τὴν τράπεζαν, καὶ ἐπιθεῖναι τοῖς κίοσιν, ὡς ὀφείλει καθιδρυθῆναι. Παραγενόμενος δὲ μετὰ ταῦτα ὁ Ἀρχιερεὺς, λαμβάνει μαρτυρικῶν ἁγίων μερίδας τρεῖς. αἵτινες ὀφείλουσιν μετὰ τὴν ἱεροτελεστίαν κατατεθῆναι. οἱ μὲν κίονες βαστάζουσι τὴν τράπεζαν εἰς τὸν ηὐτρεπισμένον ἐπὶ τοῦ ἐδάφους οἱονεὶ τάφον, μεταξὺ τῶν πρὸς ἀνατολὰς κιόνων. Εἰ δὲ βωμὸς ἀνέχει ταύτην, εἴτε μονόλιθος, εἴτε συντεθειμένος ἐκ πολλῶν λίθων, εἰς τὴν γινομένην παρὰ τοῦ τεχνίτου θήκην ἐν τῷ μέσῳ τοῦ βωμοῦ κατὰ τὴν πλεῦσιν αὐτοῦ τὴν πρὸς τὸ σύνθρονον. καὶ ταύτας τὰς τρεῖς μερίδας βαλὼν ἐν γλωσσοκόμῳ ὅμοιον Καψείῳ, μεθ' οὗ κατατίθεσθαι μέλλουσι, τὸ τοιοῦτον γλωσσόκομον, τίθησιν ἐν δίσκῳ ἁγίῳ, καὶ τὸν ἀστερίσκον ἐπιθεὶς, τῷ τοῦ δίσκου σκεπάζει καλύμματι. καὶ φέρων ἀποτίθησιν ἔν τινι σεπτῷ Ναῷ προσεγγίζοντι. κἀκεῖ τελεῖται λυχνικὸν, παννυχὶς, καὶ ὄρθρος.

Κατὰ δὲ τὴν ἑξῆς, προλαμβάνει πάλιν ὁ ἐκκλησιαστικὸς, καὶ τὰ ἐπιτήδεια ἑτοιμάζει, καθάπαξ ὀφείλοντα εἶναι πάντα καινὰ, καὶ ἄθικτα, ὧν τὸ καθ' ἕκαστόν ἐστιν ἐν τούτοις. Σάβανα, εἴτ' οὖν λευκὰς σινδόνας δύο. Μανδύλια, τουτέστι χειρόμακτρα τρία. Ζώνας τρεῖς. Τάπητα, ἤγουν ἐπαύχην. καὶ Προσκεφάλαιον. Χάρτην χόρτινον, ἢ καὶ τριτάκιον πρὸς τὸ πάχος τῶν ὑπερειδόντων κιόνων τῆς τραπέζης. Σφήκωμα, ὅ ἐστι σχοινίον λεπτόν. Μαστίχην, Κηρὸν, Μάρμαρον τετριμμένον. Σὺν αὐτοῖς Ἀλόην, Σμύρναν, Λίβανον, Λάδανον, καὶ Προτίτην. ἅτινα ἐν χύτρᾳ συμμιγόμενα ἀναλύονται. Χύτραν, θερμαντρὸν ἀγγεῖον. καὶ Σίτλαν ἢ Ἐπιχύτην χαλκᾶ, εἴτε κεράμεα. καὶ Σπόγγους τέσσαρας, καὶ Νιπτρὸν λευκὸν, καὶ Κανδήλαν, ἢ καὶ Λύχνος λέγεται, καὶ Λαμπτήρ. Καὶ Μολυβίδα, καὶ Θρυαλλίδα, καὶ Βύκους δύο, τὸν μὲν οἰνάνθης, ἢ οἴνου, καὶ Κόλαθον μύρου. διότι ὁ Κόλαθος μέτρον ἄγων τὸ ἥμισυ τοῦ ὑδροσαίου, ἤτοι ξέστας κέ. οἳ ποιοῦσι λίτρας, μά. οὐγγίας ὀκτώ.

Ταῦ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ταῦτα τοίνυν ἀντεπίζων ὁ προλαβὼν ἐκκλησιαστικὸς, κελεύει τὸν κηρὸν ἐν τῇ χύτρᾳ θερμαινόμενον τακῆναι μετὰ τῶν λοιπῶν εἰδῶν, καὶ Μάρμαρον τετριμμένον ἀνάλογον τῇ τε ποσότητι τούτων, καὶ τῷ πάχει τῶν κιόνων. Εἶτα προστάττει πᾶν ὁτιοῦν κινούμενον ἐκβληθῆναι τοῦ Ναοῦ, καὶ μηδὲ Κανδήλαν περιλειφθῆναι.

Παραγινομένου δὲ τοῦ Ἀρχιερέως, ἡ μὲν Τράπεζα καταφέρεται τῶν κιόνων, καὶ προσερείδεταί τινι τῶν τοίχων. Ἐκβάλλεται δὲ καὶ πᾶς ὁ λαϊκὸς, μόνοι τε μένουσιν ἐντὸς οἱ λοιποὶ κληρικοὶ, καὶ ὑπηρέται, καὶ τὰ πρὸς τὴν καθιέρωσιν ἐπιτήδεια. Καὶ πανταχόθεν ἀσφαλῶς κλειομένων τῶν τοῦ Ναοῦ πυλῶν, τὴν ἀρχιερατικὴν πᾶσαν περιβάλλεται στολὴν ὁ Ἀρχιερεὺς, καὶ οἱ συνόντες αὐτῷ Ἱερεῖς, καὶ οἱ Διάκονοι τὰς ἰδίας ἐνδύονται στολάς. αὐτῷ δὲ τῷ μέλλοντι τὴν καθιέρωσιν αὐτουργεῖν, ἐπάνωθεν τῶν ἱερατικῶν ἀμφίων περιτίθεται σάβανον, ἔμπροσθεν μὲν ἀπὸ τοῦ στήθους ἕως ποδῶν διῆκον, ὄπισθεν δὲ ὑπὸ τὰς μασχάλας πρὸς τὴν ῥάχιν, δι' ἀμφοτέρων τῶν ἄκρων φερόμενον καὶ δεσμούμενον, διαμέσον τε ζώνῃ περισφιγγόμενον. Περιτίθεται δὲ καὶ αὐτῷ καθ' ἕτερον τῶν βραχιόνων μανδύλιον ζώναις διαδεσμούμενον. Καὶ οὕτω στολισάμενος εἴσεισιν ἅμα τοῖς παρεπομένοις εἰς τὸ θυσιαστήριον. καὶ αὐτοῦ ἐπιτάττοντος τὸν χόρτινον χάρτην λαμβάνουσιν, οἷς ἐστὶν ἐπιτηδειότης, ὥστε τοῖς ἱμᾶσι τούτου τοῖς ἀρκοῦσι περιλαβεῖν, ἓν ἕκαστον τῆς τραπέζης κίονα. Τέμνοντες οὖν ὅσον ἱκανόν ἐστι, τὸ μὲν ἄνωθεν τοῦ χάρτου μέρος, πρὸς τῇ κεφαλῇ δεῖ τοῦ κίονος εἶναι. διπλοῦν ποιοῦσι, τὸ βραχύτερον τοῦ διπλώματος ἐντὸς ἀποκλίνοντες, τὸ δὲ κάτωθεν ἁπλοῦν. ἄνω γὰρ ἐπιχεῖσθαι μέλλει ζέων ὁ συν μαστίχῃ κηρός. καὶ χρὴ τὸν χάρτην εἶναι διπλοῦν, ὅπως δύνηται στέγειν, ἀλλὰ καὶ ὑπερέχειν αὐτὸν περὶ μέτρου τοῦ κίονος κύκλωθεν, ὅσον ἐπὶ δάκτυλον μέγαν, πρὸς τὸ μὴ τὴν κηρομαστίχην ἐκχεῖσθαι. Οὕτως οὖν ὡς εἴρηται, περιελίττοντες ἕκαστον κίονα διὰ τοῦ χάρτου κατασφίγγουσιν ἔξωθεν σφηκώματι τρὶς ἄνω περιειλυμένῳ, καὶ κάτω τρίς. Εἶτα καὶ τοῦ ἄνω καὶ τοῦ κάτω δεσμοῦ τὰ ἄκρα, ἐπ' αὐτῷ τούτῳ παρηρτημένα, περὶ τὸ μέσον ἄγουσι. καὶ ἀντιπαραλλάττοντες σχῆμα σταυρικὸν ἔμπροσθεν ἀποτελοῦσι μεταξὺ τοῦ ἄνω καὶ τοῦ κάτω δεσμοῦ. Μετὰ δὲ ταῦτα περιτιθέασι μάρμαρον τετριμμένον ταῖς ἄνω περιφερείαις τῶν κιόνων παρὰ τὰ ἐξέχοντα τοῦ χάρτου διπλώματα, πρὸς τὸ μὴ διά τινος ὀπῆς βραχείας τὴν κηρομαστίχην ἐκρεῖν, καὶ τῆς χύτρας κομιζομένης ἐπιχεῖται τοῖς κίοσιν ἡ κηρομαστίχη, μέ-

χεις

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΒΙΒΛΙΟΘΗΚΗ

χεῖς ἀν πληρωθῶσιν αἱ διὰ τοῦ χάρτου χελώσεις. ἀφιεμένης δὲ αὐτῆς ψυχρανθῆναι μικρόν. ζέον γάρ ἐστι, λέγει ὁ Ἀρχιερεὺς τὴν εὐχὴν ταύτην.

Κε ὁ Θς ὁ Σωτὴρ ἡμῶν. ὅρα ὄπισθεν. φυλ. 24.

Καὶ μετὰ τὸ, Ἀμήν, ἐπιλαμβάνεται τῆς Τραπέζης ἅμα τοῖς συμπαροῦσιν ἱερεῦσι καὶ διακόνοις, προσκαλουμένου καὶ τεχνίτου τινὸς, εἰ δεήσειε, καὶ τιθέασιν αὐτὴν ἐπὶ τοὺς κίονας, ψάλλοντες ψαλμὸν ἕως τρίτου τὸν ρμδʹ.

Ὑψώσωσε ὁ Θεός μου, ὁ βασιλεύς μου. καὶ εὐλογήσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Καὶ τὰ ἑξῆς ἕως τέλους.

Εἶτα δοξάζουσι. καὶ ζεομένης τῆς ἀπορραντισάσης κηρομαστίχης, καθαιρομένων τε τῶν τόπων ἐφ' οὓς ἔρρανσε. πάλιν λέγουσι ψαλμὸν, κβʹ.

Κύριος ποιμαίνει με καὶ οὐδέν με ὑστερήσει. καὶ τὰ λοιπά ἕως τέλους.

Εἶτα δοξάζουσι. Καὶ λέγει ὁ Ἀρχιερεύς.

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν. πάντοτε, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ μετὰ τὸ, Ἀμήν, ταῖς χερσὶ πανταχόθεν καταπιέζουσιν ἠρέμα τὴν Τράπεζαν εἰς τὸ προσαρμοσθῆναι τοῖς κίοσιν αὐτὴν, καὶ καλῶς ἱδρυνθῆναι. ταῦτα δὲ γίνεται πάντα, τῆς Τραπέζης ὑπὸ κιόνων, ἢ κίονος ἑνὸς βασταζομένης. βωμοῦ δὲ ὑποκειμένου τετραγώνου, εἰ μὲν ἐπικειμένη τούτῳ Τράπεζα τετράγωνος οὖσα τυγχάνει, ταῖς τέσσαρσι γωνίαις ἐπιχεῖται ἡ κηρομαστίχη. καὶ οὕτως ἀπαρτίζεται ἡ καθίδρυσις. εἰ δὲ ἐκ διαφόρων μαρμάρων εἴη συγκειμένη, τὰ μὲν ἄλλα συντίθεται παρὰ τοῦ τεχνίτου, τὸ δὲ μέσον τετράγωνον καθίδρυται διὰ κηρομαστίχης, μηδὲ χάρτου περιδεσμουμένου, μηδ' ἄλλου τινὸς ἐπακολουθοῦντος.

Μετὰ δὲ τὸ καθιδρυνθῆναι τὴν Τράπεζαν, εὐθὺς παρὰ τῶν ἁγίων θυρῶν τίθεται καὶ προσκεφάλαιον. καὶ τοῦ Ἀρχιδιακόνου τὸ, Ἔτι καὶ ἔτι κλίναντες τὰ γόνατα, ἐκφωνοῦντος. Ὁ Ἀρχιερεὺς κλίνας τὰ γόνατα, λέγει τὴν εὐχὴν ταύτην.

Ὁ Θς ὁ ἄναρχος, καὶ ἀΐδιος. ὅρα ὄπισθεν, φυλ. 25. Ὁ Διάκ. ἀναστάς.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς ὁ Θς τῇ σῇ χάριτι.

Ὁ Λαὸς τὸ, Κε ἐλέησον, γʹ. Εἶτα ὁ Διάκονος.

Ἐν εἰρήνῃ τοῦ Κυ δεηθῶμεν.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν. τοῦ Κυρίου δεηθῶμεν.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Υ'πὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐςαθείας τῶν ἁγίων τοῦ Θεοῦ Ε'κκλησιῶν, καὶ τῆς τῶν πάντων ἑνώσεως. τοῦ Κυρίου δεηθῶμεν.

Υ'πὲρ τοῦ Α'ρχιεπισκόπου ἡμῶν, (δεῖνος,) καὶ τοῦ ἔργου τῶν χειρῶν αὐτοῦ, καὶ τῶν συμπαρόντων αὐτῷ Ι'ερέων, καὶ Διακόνων, καὶ λοιπῶν, τοῦ Κυρίου δεηθῶμεν.

Υ'πὲρ τοῦ ἁγιασθῆναι τὸν Οἶκον τοῦτον, καὶ τὸ ἐν αὐτῷ Θυσιαςήριον τῇ ἐπιφοιτήσει, καὶ δυνάμει, καὶ ἐνεργείᾳ τοῦ ἁγίου Πνεύματος. τοῦ Κυρίου δεηθῶμεν.

Υ'πὲρ τῶν εὐσεβεςάτων καὶ θεοφυλάκτων Βασιλέων ἡμῶν, παντὸς τοῦ παλατίου, καὶ τοῦ ςρατοπέδου αὐτῶν. τοῦ Κυρίου δεηθῶμεν.

Υ'πὲρ τῆς Πόλεως ταύτης, Πάσης πόλεως, χώρας, καὶ τῶν πίςει οἰκούντων ἐν αὐταῖς. τοῦ Κυρίου δεηθῶμεν.

Υ'πὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, καὶ ἀνάγκης. τοῦ Κυρίου δεηθῶμεν.

Α'ντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι.

Τῆς παναγίας ἀχράντου, ὑπερευλογημένης, δεσποίνης ἡμῶν Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας, καὶ τοῦ ἁγίου οὗ ἐςὶν ὁ ἐγκαινιζόμενος Ναὸς, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους Χριςῷ τῷ Θεῷ παραθώμεθα. Ε'κφώνως.

Ο'τι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, καὶ ἐν ἁγίοις τοῖς ὑπὲρ σοῦ ἀθλήσασι τιμίοις μάρτυσιν ἀναπαύῃ, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι. νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Α'μήν.

Καὶ λεγομένου τοῦ, Α'μὴν, Εἰσπορεύεται ὁ ἱερεὺς, καὶ ἵςαται πρὸ τῆς ἁγίας Τραπέζης. νίπτρόν τε λευκὸν λαμβάνων, ςαυροὺς δι' αὐτοῦ ποιεῖ τρεῖς ἐπ' αὐτῆς, μέσον ἕνα, καὶ δύο παρ' ἑκάτερα. καὶ οὕτως ἐκ τοῦ θερμηροῦ ἀγγείου βάλλεται χλιαρὸν ὕδωρ εἰς σίτλαν, ἢ ἐπιχύτην. ἐπὶ τούτω δὲ τὴν κεφαλὴν ἐπικλίνων, ἄρχεται τάδε.

Κ'Υ'ριε ὁ Θεὸς ἡμῶν, ὁ ἁγιάσας τὰ ῥεῖθρα τοῦ Ι'ορδάνου διὰ τῆς σωτηριώδους σου ἐπιφανείας, αὐτὸς καὶ νῦν κατάπεμψον τὴν χάριν τοῦ ἁγίου σου Πνεύματος, καὶ εὐλόγησον τὸ ὕδωρ τοῦτο, πρὸς ἁγιασμὸν καὶ τελείωσιν τοῦ Θυσιαςηρίου. Ο'τι εὐλογητὸς ὑπάρχεις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Α'μήν.

Μετὰ δὲ τὴν εὐχὴν ταύτην, ἀπὸ τοῦ τοιούτου χλιαροῦ ὕδατος τρίτον ἐπιχέει ςαυροειδῶς τῇ Τραπέζῃ λέγων.

Εἰς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος.
Καὶ μετὰ τοῦ Νίπτρου, ταύτην καὶ τοὺς κίονας κατασμήχοντες, αὐτός τε καὶ οἱ συμπαρόντες Ἱερεῖς τε καὶ Ἀρχιερεῖς, μετὰ σπόγγων ἐκμάσσουσιν.
Εἶτα μετὰ λινῶν καθαρῶν ὑφασμάτων οἷα καὶ κατὰ τὴν ἁγίαν καὶ μεγάλην ἐνεργεῖ πέμπτην εἰς ἔκπλυσιν τῆς ἁγίας Τραπέζης, ἢ καὶ μετὰ τῶν ἀντιμινσίων, εἴπερ εἰσὶν, ἐπιχυμένου δηλαδὴ καὶ τούτοις ἑτέρου χλιαροῦ ὕδατος τοῦ ἀρκοῦντος. Ἐν ᾧ δὲ καιρῷ τελεῖται ταῦτα, λέγεται οὗτος ὁ ψαλμὸς, πγ΄. Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου Κύριε. καὶ τὰ ἑξῆς ἕως τέλους.
Μετὰ δὲ τὴν τελείαν ἔκπλυσιν καὶ ἀπόσμηξιν, δοξάζουσι. καὶ λέγει ὁ Ἀρχιερεύς.
Δόξα τῷ Θεῷ ἡμῶν εἰς τοὺς αἰῶνας.
Τῶν δὲ Ἱερέων αὐτοῦ που πλησίον τὰ ἀντιμίνσια μετατιθέντων, λαμβάνει ὁ Ἀρχιερεὺς βύκον οἰνάνθης, ἢ οἴνου πλήρη, καὶ τρεῖς ἐξ αὐτοῦ τῇ Τραπέζῃ σταυροειδῶς ἐπιχέων λέγει. Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι. πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.
Τοῦτο δὲ τρίτον εἰπὼν, ἐπισυνάπτει τὰ ἑξῆς τοῦ ψαλμοῦ ἕως τέλους, καὶ δοξάζων λέγει.
Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε. νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Εἶτα λαμβάνων ἀγγεῖον μύρου καθαροῦ πεπληρωμένον, καὶ τοῦ ἀρχιδιακόνου λέγοντος. Πρόσχωμεν: ἐπιχέει τῇ τραπέζῃ λεγομένου τοῦ, Ἀλληλούϊα, ὡς ἐπὶ τοῦ βαπτίσματος. καὶ ποιεῖ δι᾽ αὐτοῦ σταυροὺς τρεῖς, μέσον ἕνα, καὶ δύο ἑκατέρωθεν. Ἔπειτα διδοὺς τὸ ἀγγεῖον τῷ προσάγοντι, πᾶσαν ἐπανωθεν ἐπαλείφει τὴν τράπεζαν, ἀπὸ τῶν τριῶν σταυρῶν. καὶ καθ᾽ ἕκαστον κίονα ποιεῖ σταυροὺς τρεῖς, ἕν τε τῷ μέσῳ, καὶ ἐν τοῖς πλαγίοις. τῶν δὲ Ἱερέων ἐπιτεθέντων πάλιν τῇ ἁγίᾳ Τραπέζῃ τὰ Ἀντιμίνσια, καὶ τούτοις ἐκ τῆς οἰνάνθης, ἢ τοῦ οἴνου, καὶ ἐκ τοῦ μύρου τὸ ἀρκοῦν ἐπιχέει, λεγομένου καὶ τοῦ παρόντος ψαλμοῦ. ψαλμὸς ρλβ΄.
Ἰδοὺ δὴ τί καλὸν ἢ τί τερπνὸν. ἀλλ᾽ ἢ τὸ κατοικεῖν. καὶ τὰ ἑξῆς ἕως τέλους.

Εἶτα δοξάζουσι, καὶ αὐτός φησι.

Δόξα σοι, ἁγία Τριὰς, ὁ Θεὸς ἡμῶν εἰς τοὺς αἰῶνας.
Ἐκμασσομένης δὲ τῆς τραπέζης διὰ τῶν Ἀντιμινσίων, αὐτὰ μὲν παρ᾽ αὐτῶν τῶν Ἱερέων αὖθις μετατίθενται. λαμβάνει δὲ ὁ Ἀρχιερεὺς τὸ λεγό-

λεγόμενον, Κατασάρκα, ὃ ἐςὶ σάβανον καινὸν, ἢ λιτὸν ὕφασμα, παρηρτημένης ἔχον εἰς τὰ τέσσαρα ἄκρα σχοίνης λεπτὰς. ἐπὶ Τραπέζῃ ἐφαπλωμένα δεσμεῦνται σχοῖνοι, ἢ ςαυροειδῶς ὑποκάτωθεν τῆς Τραπέζης, ἢ κατὰ τὰς κίονας, καὶ οὕτω πάλιν ἐπάνωθεν τῦ Κατασάρκα, τίθενται τὰ ἁγιασθέντα Ἀντιμίνσια.

Ἐν ὅσῳ δὲ πράττεται ταῦτα, λέγεται καὶ οὗτος ὁ ψαλ. ψαλ. ρλά.

Μνήσθητι Κύριε τῦ Δαβὶδ, καὶ πάσης τῆς. καὶ τὰ λοιπὰ ἕως τέλους. Καὶ τῦ ἔργυ τελουμένυ, δοξάζυσι. καὶ λέγει ὁ Ἀρχιερεύς.

Δόξα τῷ Θεῷ ἡμῶν εἰς τοὺς αἰῶνας.

Μετὰ δὲ ταῦτα νιπτόμενος τὰς χεῖρας, Μανδυλίῳ καινῷ ταύτας ἐκμάσσων, λαμβάνει τὸ ἅπλωμα, ἤτοι τὴν ἐπένδυσιν τῆς ἁγίας Τραπέζης. ἧς παρ' αὐτῦ ἐφαπλωμένης, λέγεται καὶ οὗτος ὁ ψαλ. ϙβ´.

Ὁ Κύριος ἐβασίλευσεν εὐπρέπειαν ἐνεδύσατο. καὶ τὰ λοιπὰ ἕως τέλυς. καὶ οὕτω δοξάζυσι.

Τίθησι δὲ τὸ εἰλητὸν, καὶ μετὰ ταῦτα τὸ Εὐαγγέλιον. καὶ μετὰ τὸ, Ἀμὴν, ἐπιδίδοται τῷ Ἀρχιερεῖ τὸ Θυμιατήριον. καὶ αὐτῦ θυμιῶντος τὴν ἁγίαν Τράπεζαν, καὶ τὸ ἱερατεῖον, καὶ τὸν Ναὸν ὅλον. λέγεται ψαλμὸς κέ.

Κρῖνόν με Κύριε. εἷς δὲ τῶν συμπαρόντων Ἱερέων ὄπισθεν ἐπακολυθεῖ βαςάζων τὸ τῦ Μύρυ ἀγγεῖον, καὶ ποιεῖ Σταυρὸν δι' αὐτῦ καθ' ἕκαςον κίονα, καὶ πεσσὸν τῦ Ναῦ. Ψαλμὸς κέ.

Κρῖνόν με Κύριε ὅτι ἐγώ. καὶ τὰ ἑξῆς ἕως τέλυς. συμπληρωμένων δὲ τῆς θυμιάσεως, καὶ τῦ ψαλμῦ, δοξάζυσι. καὶ τῦ Διακόνυ τὴν συνειθισμένην συναπτὴν ποιοῦντος, καὶ μετὰ τῦ, Ἀντιλαβῦ, λέγοντος. Τῆς Παναγίας ἀχράντου, καὶ ἁγίυ τῦ δεῖνος, οὗ ἐςὶν ὁ ἐγκαινιζόμενος Ναὸς, καὶ τὰ ἑξῆς, ὁ Ἀρχιερεὺς πρὸ τῆς ἁγίας ἑςὼς τραπέζης, μὴ γόνυ κλίνων, εὔχεται οὕτως.

Κύριε τῦ οὐρανῦ καὶ τῆς γῆς, ὁ τὴν ἁγίαν συ Ἐκκλησίαν ἀῤῥήτῳ σοφίᾳ θεμελιώσας, καὶ ἀντίτυπον τῆς ἀγγελικῆς ἐν Οὐρανῷ λειτυργίας τὴν τῆς ἱερωσύνης τάξιν ἐπὶ τῆς γῆς συςησάμενος. σὺ δέσποτα μεγαλόδωρε, πρόσδεξαι καὶ νῦν δεομένυς ἡμᾶς, ὐχ ὡς ἀξίυς ὄντας περὶ τηλικύτων αἰτεῖν, ἀλλ' ἵνα τὸ ὑπερβάλλον δειχθῇ τῆς σῆς ἀγαθότητος. ὐ γὰρ ἐπαύσω τὸ ἀνθρώπινον γένος πολυτρόπως εὐεργετῶν, κεφάλαιον δὲ ἡμῖν ἐδωρήσω τῶν εὐεργεσιῶν τὴν ἐν σαρκὶ τῦ μονογενῦς συ Υἱῦ παρυσίαν. ὃς ἐπὶ τῆς γῆς ὀφθεὶς, καὶ λάμψας τοῖς ἐν σκότει, φῶς σωτηρίας, ἀνήνεγκεν ἑαυτὸν ὑπὲρ ἡμῶν θυσίαν, καὶ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γέγονε τοῦ κόσμου παντὸς ἱλαστήριον, κοινωνοὺς ἡμᾶς τῆς ἰδίας ἀναστάσεως ποιησάμενος, καὶ ἀναληφθεὶς εἰς τοὺς Οὐρανοὺς, ἐνέδυσε τοὺς ἑαυτοῦ μαθητὰς, καὶ Ἀποστόλους, καθὼς ἐπηγγείλατο δύναμιν ἐξ ὕψους, ἥτις ἐστὶ τὸ Πνεῦμα τὸ ἅγιον, τὸ προσκυνητὸν, καὶ παντοδύναμον, τὸ ἐκ σοῦ τοῦ Θεοῦ, καὶ Πατρὸς ἐκπορευόμενον. δι᾽ οὗ γενόμενοι δυνατοὶ ἐν ἔργῳ καὶ λόγῳ, Βάπτισμα παρέδωκαν υἱοθεσίας, Ἐκκλησίας ἀνέστησαν, ἵδρυσαν Θυσιαστήρια, Ἱερωσύνης ἔθεντο κανόνας καὶ νόμους. ὧν ἡμεῖς οἱ ἁμαρτωλοὶ κατέχοντες παράδοσιν, προσπίπτομέν σοι τῷ αἰωνίῳ Θεῷ, καὶ δεόμεθά σου, εὔσπλαγχνε, τὸν πρὸς τὴν ὑμνῳδίαν οἰκοδομηθέντα τοῦτον Ναὸν, τῆς θείας σου πλήρωσον δόξης, καὶ τὸ ἐν αὐτῷ παγὲν θυσιαστήριον ἅγιον ἁγίων ἀνάδειξον. ὥστε ἡμᾶς παρεστῶτας αὐτῷ, ὡς τῷ φρικτῷ τῆς βασιλείας σου θρόνῳ, ἀκατακρίτως λαβεῖν σοι, δεήσεις ὑπὲρ ἡμῶν καὶ τοῦ λαοῦ παντὸς ἀναπέμποντας, καὶ τὴν ἀναίμακτον θυσίαν τῇ σῇ προσφέροντας ἀγαθότητι, εἰς ἑκουσίων καὶ ἀκουσίων ἁμαρτημάτων συγχώρησιν, εἰς κυβέρνησιν βίου, εἰς ἀγαθῆς πολιτείας κατόρθωσιν, εἰς ἐκπλήρωσιν πάσης δικαιοσύνης. Ὅτι ηὐλόγηταί σου τὸ πανάγιον ὄνομα, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ μετὰ τὸ, Ἀμὴν, λέγει. Εἰρήνη πᾶσι. Καὶ ὁ Διάκονος λέγοντος.

Τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε. λέγει τὴν εὐχὴν ταύτην.

Εὐχαριστοῦμέν σοι Κύριε ὁ Θεὸς τῶν Δυνάμεων, τῷ τὴν σὴν χάριν ἐκχέαντι ἐπὶ τοὺς ἁγίους σου Ἀποστόλους, καὶ τοὺς ὁσίους ἡμῶν Πατέρας, ὅτι ἠξίωσας διὰ τὴν πολλήν σου φιλανθρωπίαν, καὶ μέχρις ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἀχρείων δούλων σου ταύτην ἐκτεῖναι. Καὶ δεόμεθά σου Δέσποτα πολυέλεε, πλήρωσον δόξης, καὶ ἁγιασμοῦ, καὶ χάριτος τὸ Ἁγιαστήριον τοῦτο, εἰς τὸ μεταποιεῖσθαι τὰς ἐν αὐτῷ προσφερομένας σοι ἀναιμάκτους Θυσίας, τοῦ ἀχράντου Σώματος, καὶ τοῦ τιμίου Αἵματος τοῦ μονογενοῦς σου Υἱοῦ, καὶ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, πρὸς σωτηρίαν παντὸς τοῦ Λαοῦ σου, καὶ τῆς ἡμῶν ἀναξιότητος.

Σὺ γὰρ εἶ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι. νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Μετὰ τὸ, Ἀμὴν, λέγει ὁ Διάκονος. Ἐν εἰρήνῃ προέλθωμεν. καὶ τελεῖται πᾶσα ἡ ἀκολουθία.

Μετὰ δὲ ταῦτα κομίζεται τῷ Ἀρχιερεῖ Κανδήλα καινὴ, καὶ Μολυβὶς, καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ϗ Θρυαλλὶς, ϗ Ἔλαιον. ϗ αὐτὸς οἰκείαις χερσὶ πληρῶν ἐλαίου τὴν Κανδήλαν, ϗ ἀνάπτων τὴν Θρυαλλίδα, ταύτην ἀποτίθησιν ἐν τῷ Θυσιαστηρίῳ. ϗ λοιπὸν ἀποτιθέμενος τό, τε Σάβανον ϗ Μανδύλιν, ϗ πᾶσαν τὴν ἀρχιερατικὴν στολὴν, ἐπιτρέπει τοῖς ἐκκλησιαστικοῖς ὑπηρέταις εἰσαγαγεῖν Κανδήλας, ϗ Κηροὺς, ϗ πάντα τὸν τοῦ Ναοῦ κόσμον.

Ἐν ὅσῳ δὲ τελεῖται ταῦτα, μικρὸν αὐτὸς ἀναπαύεται. ϗ εἴπερ δύναται κατ᾽ αὐτὴν τὴν ἡμέραν τελειῶσαι τὴν ὅλην καθιέρωσιν, ϗ τὸν Ἐγκαινισμὸν, πάλιν τὰ τῆς ἀρχιερατείας ἅπαντα περιβάλλεται ἄμφια, ϗ ἄπεισι σὺν τοῖς Ἱερεῦσι, ϗ τῷ λοιπῷ Κλήρῳ, ϗ τῷ Λαῷ εἰς ἕτερον Ναὸν, ἐν ᾧ τὰ μαρτυρικὰ ἀπετέθη λείψανα. Εἰ δὲ τοῦτο ποιῆσαι κατ᾽ ἐκείνην ἀδυνατεῖ ἡμέραν, ὑποχωρεῖ μὲν αὐτὸς, γίνεται δὲ ϗ αὖθις λυχνικὸν, ϗ παννυχὶς, ϗ ὄρθρος, εἰς τὸν Ναὸν τὸν [illegible]εξ[illegible]ον τὰ λείψανα τῶν Μαρτύρων. τῇ δὲ ἑξῆς ὁ Ἀρχιερεὺς π[illegible] σύναμα τῷ Κλήρῳ ϗ τῷ Λαῷ. ϗ τοῦ Διακόνου ποιοῦντος [illegible], λεχθέντος τοῦ Τρισαγίου αὐτὸς εὔχεται οὕτως.

Κε ὁ Θεὸς ἡμῶν ὁ Πιστὸς ἐν τοῖς. ὅρα ὄπισθεν. φύλ. 17.

Καὶ μετὰ τὸ, Ἀμὴν, ἐκφωνεῖ, τὸ, Εἰρήνη πᾶσι, ϗ τοῦ Διακόνου λέγοντος. Τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε. εὔχεται οὕτως.

Κε ὁ Θεὸς ἡμῶν πρεσβείαις τῆς ἁγίας. ὅρα ὄπισθεν. φύλ. 18.

Καὶ μετὰ τὸ, Ἀμὴν, αἴρει τὰ λείψανα ἐπὶ τῆς ἑαυτοῦ κεφαλῆς, μετὰ τοῦ ἁγίου Δίσκου, προπορευομένων τῶν τε Ἱερέων, ἢ ϗ Ἀρχιερέων, ϗ τοῦ Κλήρου, ϗ τοῦ Λαοῦ. ϗ λέγουσιν οἱ ψάλται τὸ παρὸν τροπάριον εἰς ἦχον γ´.

Ὁ ἐν τῇ πέτρᾳ τῆς πίστεως οἰκοδομήσας τὴν Ἐκκλησίαν σου ἀγαθὲ, ἐν αὐτῇ κατεύθυνον τὰς ἱκεσίας ἡμῶν. ϗ πρόσδεξαι λαὸν ἐν πίστει βοῶντά σοι, σῶσον ἡμᾶς ὁ Θεὸς ἡμῶν, σῶσον ἡμᾶς.

Ὅτε δὲ πλησιάσωσι τῷ καθιερωμένῳ Ναῷ ψάλλουσι ϗ τὰ παρόντα τροπάρια. ἦχος βαρύς.

Ἅγιοι μάρτυρες οἱ καλῶς ἀθλήσαντες ϗ στεφανωθέντες. Δόξα σοι Χριστὲ ὁ Θεὸς, ἀποστόλων καύχημα, μαρτύρων.

Ἄλλο. ἦχος, γ.

Τὸ στερέωμα τῶν ἐπὶ σοὶ πεποιθότων. ἕτερον ἦχος πλ. δ´.

Οὐρανίας ἁψῖδος ὀροφουργέ. Εἰ βούλει ϗ ἕτερον πλ. α´.

Ὁ πήξας ἐπ᾽ οὐδενὸς τὴν γῆν.

Καὶ ἡνίκα φθάσωσιν εἰς τὴν μέσην τοῦ Ναοῦ πύλην κεκλεισμένην



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὄσαν μετὰ τῶν λοιπῶν, ἐκφωνεῖ ὁ Ἀρχιερεύς.

Εὐλογητὸς εἶ Χριστὲ ὁ Θεὸς ἡμῶν. πάντοτε, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ τιθέντος αὐτοῦ τὸν Δίσκον ἐπὶ τὴν Τράπεζαν, ἐπὶ τοῦ ἡτοιμασμένην κατὰ τὸ σχῆμα τῶν ἐγκαινίων, ψάλλουσι τό,

Ἄρατε πύλας. Ἀποκρίνονται δὲ ἕτεροι ψάλται τό, Τίς ἐστιν οὗτος ὁ Βασιλεύς. Ἕως τρίτου. Καὶ ἐν τῷ ψάλλεσθαι ταῦτα, λέγει ὁ Ἀρχιερεὺς τὴν εὐχὴν ταύτην.

Ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. ὅρα ὄπισθεν. φυλ. 21.

Εἰρήνη πᾶσι. Ὁ Διάκονος. Τὰς κεφαλὰς ὑμῶν. Καὶ λέγει τὴν εὐχὴν ταύτην τῆς εἰσόδου ὁ Ἀρχιερεύς.

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καταστήσας. ὅρα ὄπισθεν. φυλ. 22.

Καὶ παραυτίκα πάλιν ἀποτίθησι τὰ ἅγια λείψανα μετὰ Δίσκου τῇ ἑαυτοῦ κεφαλῇ, σφραγιζομένων, καὶ πάντων μετὰ τὴν ἄνοιξιν εἰσερχομένων. Καὶ λέγουσιν οἱ ψάλται τὸ παρὸν Τροπάριον. ἦχος. δ'.

Ὡς τοῦ ἄνω στερεώματος τὴν εὐπρέπειαν. ὅρα ὄπισθεν. φυλ. 23.

Καὶ ψάλλουσιν ἰδιόμελα τῶν ἐγκαινίων, τὰ πρῶτα. ζήτει αὐτὰ ἐν Μηναίῳ. τούτων δὲ ψαλλομένων τὰ σεβάσμια λείψανα παρὰ τοῦ Ἀρχιερέως εἰς ἡτοιμασμένην ἀποτίθενται θήκην. εἴτε κατὰ τὸ ἔδαφος μεταξὺ πρὸς ἀνατολὰς κιόνων, ἄγε τὴν Τράπεζαν ὑπερείδουσι κίονες. εἴτε βωμοῦ ταύτην βαστάζοντος κατὰ τὸ μέσον αὐτοῦ μέρος τό, Σιώθρονον. Μύρον δὲ τούτοις τοῦ Ἀρχιερέως ἐπιχέοντος, ἐπιτίθεται παρ' αὐτοῦ τὸ πῶμα τῇ θήκῃ, καὶ κατασφαλίζονται πάντοθεν αἱ τούτου ἁρμογαὶ διὰ Κηρομαστίχης, ἢ Γύψου, ἢ Μολύβδου. καὶ λέγει καθ' ἑαυτὸν ὁ Ἀρχιερεὺς τὴν εὐχὴν ταύτην.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καὶ ταύτην τὴν δόξαν. ὅρα ὄπισθεν. φυλ. 23.

Καὶ γίνεται λειτουργία, καὶ τελεία ἀπόλυσις.

Μετὰ τὸ Τρισάγιον. Προκείμενον. ἦχος. δ'.

Τῷ οἴκῳ σου πρέπει ἁγίασμα Κύριε. στίχος.

Ὁ Κύριος ἐβασίλευσεν εὐπρέπειαν ἐνεδύσατο. Ὁ Ἀπόστολος.

Ἀδελφοὶ ἅγιοι, κλήσεως. ὅρα ὄπισθεν. φυλ. 33.

Ἀλληλούϊα, ἦχος. δ'. Σοὶ πρέπει ὕμνος ὁ Θεός. Στίχος. Πλησθησόμεθα ἐν τοῖς ἀγαθοῖς.

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ματθαῖον. Κεφ. ιϛ'. 13.

ΤΩ καιρῷ ἐκείνῳ, ἐλθὼν ὁ Ἰησοῦς εἰς τὰ μέρη Καισαρείας τῆς Φιλίππου, ἠρώτα τοὺς μαθητὰς αὐτοῦ, λέγων. τίνα με λέγουσιν οἱ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

οἱ ἄνθρωποι εἶναι, τὸν υἱὸν τοῦ ἀνθρώπου; Οἱ δὲ εἶπον· οἱ μὲν Ἰωάννην τὸν Βαπτιστήν. ἄλλοι δὲ, Ἡλίαν. ἕτεροι δὲ, Ἱερεμίαν, ἢ ἕνα τῶν προφητῶν. Λέγει αὐτοῖς. ὑμεῖς δὲ τίνα με λέγετε εἶναι; Ἀποκριθεὶς δὲ Σίμων Πέτρος εἶπε. σὺ εἶ ὁ Χριστὸς, ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπεν αὐτῷ. μακάριος εἶ Σίμων βὰρ Ἰωνᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ σοι, ἀλλ' ὁ Πατήρ μου, ὁ ἐν τοῖς Οὐρανοῖς. Κἀγὼ δέ σοι λέγω, ὅτι σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν. καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς.

Κοινωνικόν. Κύριε ἠγάπησα εὐπρέπειαν οἴκου σου, καὶ τόπον σκηνώματος δόξης σου. Ἀλληλούϊα.

Μέχρι δὲ συμπληρώσεως ἡμερῶν ἑπτὰ, καθ' ἑκάστην, ἐν τῷ τοιούτῳ Ναῷ λειτουργία τελεῖται, τῶν Ἀντιμινσίων ὑποκειμένων τῷ τῆς ἁγίας Τραπέζης ἁπλώματι. μετὰ δὲ τὴν ἑβδόμην αἴρονται τὰ Ἀντιμίνσια. καὶ λοιπὸν ἱερουργία καὶ χωρὶς Ἀντιμινσίων γίνεται ἐν τούτῳ. διὰ τὸ εἶναι αὐτὸν καθιερωμένον.

Ἰστέον δὲ ὅτι τὰ Ἀντιμίνσια πρὸ τῆς καθιερώσεως κόπτονται, καὶ ῥάπτονται, καὶ πλύνονται. μετὰ δὲ τὸ ἁγιασθῆναι οὐδὲν εἰς αὐτὰ πράττεται τοιοῦτον. ἀλλὰ μόνον ἐπιγράφονται οὕτως.

Θυσιαστήριον τοῦ Ἁγίου, τοῦ δεῖνος, ἱερουργηθὲν ὑπὸ δεῖνος Μητροπολίτου, Μηνὶ τῷ δεῖνι, ἐν Ἔτει τῷ δεῖνι. εἰ δὲ ἐν τῇ Πόλει γίνονται, προστίθεται. Ἐπὶ δεῖνος τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ Πατριάρχου.

## ΤΑΞΙΣ ΓΙΝΟΜΕΝΗ ΠΕΡΙ Ἀντιμινσίων.

Λέγει ὁ Ἀρχιερεύς.

Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας. Καὶ Ἄρχεται ὁ Διάκονος λέγων.

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἄνωθεν.

Ὑπὲρ τοῦ ἁγίου Οἴκου.

Ὑπὲρ τῶν εὐσεβεστάτων.

Ὑπὲρ τῆς Πόλεως.

Ὑπὲρ Πλεόντων.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος.

Ὑπὲρ τοῦ Ἐπισκόπου.

Ὑπὲρ τοῦ συμπολεμῆσαι.

Ὑπὲρ εὐκρασίας.

Ὑπὲρ τοῦ ῥυσθῆναι.

Τῆς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῆς Παναγίας. Καὶ ὁ Ἀρχιερεὺς λέγει. Εἰρήνη πᾶσι.
Καὶ ὁ Ἱερεύς. Τοῦ Κυρίου δεηθῶμεν.

Καὶ λέγει ὁ Ἀρχιερεὺς τὴν εὐχὴν ταύτην. Ἡ Εὐχή.

Ὁ Πάσης φύσεως Δεσπότης, καὶ κτίσεως ἁπάσης Δημιουργὸς, ὁ πάντα ποιῶν πάντοτε καὶ πραγματευόμενος ἐπ᾽ εὐεργεσίᾳ, καὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων. ὁ θεμελιώσας τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, καὶ ποιῶν θαυμάσια. σὺ Δέσποτα κατὰ πᾶσαν πόλιν καὶ χώραν ἱδρύσας τὰς Ἐκκλησίας σου, πήξας ἐν αὐταῖς Θυσιαστήρια, καὶ προσφορὰς λογικὰς, καὶ ἀναιμάκτους προσφέρεσθαι τῷ ὀνόματί σου ἐκέλευσας εἰς σωτηρίαν τοῦ γένους τῶν ἀνθρώπων. αὐτὸς καὶ νῦν Δέσποτα ἐξαπόστειλον τὸ Πνεῦμά σου τὸ ἅγιον, καὶ ἁγίασον τὰ Θυσιαστήρια ταῦτα, εἰς ἐλπίδα πίστεως, καὶ σωτηρίαν παντὶ προσιόντι τῇ σῇ μεγαλειότητι. εἰς ἀνανέωσιν ψυχῆς, καὶ σώματος εὐαρέστησιν. Ἐκφώνως.

Ὅτι εὐλογημένον, καὶ δεδοξασμένον ὑπάρχει τὸ πανύμνητον ὄνομά σου, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. νῦν καὶ ἀεί.

Εἰρήνη πᾶσι. Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε παντοκράτορ, ὁ μέγας καὶ ἰσχυρὸς, καὶ δυνατὸς, ὁ καθήμενος ἐπὶ τῶν Χερουβὶμ, καὶ δεδοξασμένος ὑπὸ τῶν Σεραφὶμ, ὃν ἀδιαλείπτως ὑμνοῦσιν Ἄγγελοι, Ἀρχάγγελοι, καὶ πᾶσαι ὑπερκόσμιαι Δυνάμεις, ἐν ἡσυχίᾳ πολλῇ καὶ εὐταξίᾳ. δεόμεθά σου Θεὲ παντοκράτορ, παντοδύναμε, δέξαι ἡμῶν τῶν ἁμαρτωλῶν δέησιν, καὶ εἰσελθέτω ἐνώπιόν σου ἡ προσευχὴ ἡμῶν τῶν ταπεινῶν, καὶ παράκλησις ἡμῶν ἀναξίων δούλων σου, καὶ ἐξαπόστειλον τὸ φῶς σου καὶ τὴν ἀλήθειάν σου ἐπὶ τὸ ἅγιον Θυσιαστήριόν σου τοῦτο, τὸ χριόμενον τῷ Μύρῳ τῶν πιστῶν σου, ἐν ᾧ ἔχρισας Ἱερεῖς καὶ Προφήτας, Βασιλεῖς καὶ Ἀποστόλους, καὶ πᾶσαν ψυχὴν πιστήν. καὶ ἁγίασον αὐτὸ, ὁ ἁγιάσας Θυσιαστήριον ἐν Ὄρει Σινᾶ ἐπὶ Μωϋσέως καὶ Ἀαρών. καὶ χαρίτωσον αὐτὸ τῇ σῇ δυνάμει, καὶ κατάπεμψον αὐτῷ τὴν χάριν τοῦ ἁγίου καὶ ζωοποιοῦ Πνεύματος τοῦ Χριστοῦ σου, καὶ χάρισαι ἡμῖν ἔλεος, καὶ μέρος, καὶ κλῆρον μετὰ πάντων τῶν ἁγίων σου. Χάριτι τοῦ Χριστοῦ σου μεθ᾽ οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι. νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα χρίει αὐτὸ ὁ Ἀρχιερεὺς τῷ Μύρῳ σταυροειδῶς, καὶ λέγει Ἀλληλούϊα. Στίχος.

Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου Κύριε τῶν δυνάμεων.

Εἶτα λέγει ὁ Ἀρχιερεύς. Εἰρήνη πᾶσιν.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ὁ Ἱερεύς. Τοῦ Κυρίου δεηθῶμεν. Ἡ Εὐχή.

ΚΥριε ὁ Θεὸς τῶν δυνάμεων εὐχαριστοῦμέν σοι διὰ παντὸς, ὅτι τὴν ἐξέχεας χάριν ἐπὶ τοὺς ἁγίους σου ἀποστόλους, καὶ πάντας τοὺς Πατέρας ἡμῶν, οὐκ ἀπέστειλας, οὐδ' ἐκώλυσας ἀφ' ἡμῶν, ἀλλ' ὡς χρηστὸς καὶ ἐλεήμων ἐξέχεας αὐτὴν μέχρι τέλους, καὶ παρέσχες ἡμῖν τοῖς ἀναξίοις ταύτην τὴν χάριν, καὶ μεγαλωσύνην, ἣν ἂν αἰτώμεθα. πλήρωσον ἡμᾶς τοῦ ἁγιασμοῦ σου παρακαλοῦμεν, καταξίωσον ἡμᾶς ἀμώμους, καὶ καθαροὺς παρίστασθαι τῷ τελειωθέντι τούτῳ Θυσιαστηρίῳ, καὶ μετὰ συνειδήσεως καθαρᾶς καὶ ἀγαθῆς, ἐν αὐτῷ σοι προσφέρειν τὴν λογικὴν, καὶ ἀναίμακτον θυσίαν, εἰς οἰκοδομὴν τῆς ἁγίας σου καθολικῆς, καὶ ἀποστολικῆς Ἐκκλησίας, καὶ αὔξησιν, καὶ προκοπὴν τοῦ Λαοῦ σου.

Ἐκφώνως.

Ὅτι ηὐλόγηταί σου τὸ ὄνομα, δεδόξασταί σου ἡ βασιλεία, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος· νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Καὶ σφραγίζει τὰ Ἀντιμίνσια τῇ χειρὶ λέγων.

Ἰδοὺ ἡγίασται, καὶ τετελείωται, καὶ γέγονε Θυσιαστήριον, ἅγια ἁγίων. ἐν ὀνόματι τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. νῦν καὶ ἀεί. Καὶ λέγει ὁ Ἱερεὺς Ψαλμὸν, ϙβ΄.

Ὁ Κύριος ἐβασίλευσεν. Εἶτα ἐκτενή.

Ἔτι καὶ ἔτι ἐκτενῶς ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ σωτηρίας, καὶ ἀφέσεως, καὶ ἀντιλήψεως τοῦ Ἐπισκόπου ἡμῶν (τοῦ δεῖνος) τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ ἀφέσεως ἁμαρτιῶν, καὶ συγχωρήσεως πάντων τῶν πλημμελημάτων ἡμῶν τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς πάσης. Τῆς Παναγίας ἀχράντου.

Καὶ λέγει Ψαλμὸν ρις΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ.

Καὶ ὁ Ἐπίσκοπος λέγει τὴν εὐχὴν ταύτην. Εὐχή.

Κύριε τοῦ Οὐρανοῦ, καὶ τῆς γῆς. ὅρα ὄπισθεν φύλ. 41. Ἐκφώνησις.

Ὅτι ηὐλόγηταί σου τὸ πανάγιον ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος.

Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ἡμῶν.

ΔΕσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ διὰ τῶν Ἀποστόλων σου φωταγωγήσας ἡμᾶς, καὶ ὁδηγήσας εἰς τὴν ἁγίαν ταύτην καὶ σωτήριον ἡμέραν τῆς οἰκονομίας τῶν ἁγίων σου Θυσιαστηρίων, πάντα ἁγίασον, εἰς τὸ γενέσθαι τοῖς προσιοῦσι τοῦτο τὸ τελειωθὲν Θυσιαστήριον, λυτήριον παντὸς νοσήματος, ἀῤῥαβῶνα ζωῆς, κληρονομίαν τοῦ μέλλοντος αἰῶ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

αἰῶνος κατὰ τὰς ἐπαγγελίας σου τὰς ἁγίας, καὶ ἱκάνωσον ἡμᾶς τοὺς ἀναξίους τοὺς προωρισμένους εἰς διακονίαν, καὶ ἁγίαν σου ἱερουργίαν, καὶ ἱλασμὸν, καὶ σωτηρίαν τοῦ λαοῦ σου. Ἐκφώνως.

Ὅτι Θεὸς εἰρήνης καὶ σωτηρίας ὑπάρχεις, καὶ πρέπει σοι ἡ δόξα τῷ Πατρὶ, τῷ Υἱῷ, καὶ τῷ Πνεύματι ἁγίῳ. Καὶ εὐθὺς προκείμενον.

Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν. Συστήσασθε ἑορτὴν ἐν τοῖς πυκάζουσιν ἕως. Στίχος.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ Θυσιαστήριόν σου μόσχους.

Ὁ Ἀπόστολος. Πρὸς Ἑβραίους Ἐπιστολῆς. Κεφ. ιγ΄. 10.

Ἀδελφοὶ ἔχομεν Θυσιαστήριον ἐξ οὗ φαγεῖν οὐκ ἔχουσιν ἐξουσίαν οἱ τῇ σκηνῇ λατρεύοντες. Ὧν γὰρ εἰσφέρεται ζώων τὸ αἷμα περὶ ἁμαρτίας εἰς τὰ ἅγια διὰ τοῦ Ἀρχιερέως, τούτων τὰ σώματα κατακαίεται ἔξω τῆς παρεμβολῆς. Διὸ καὶ Ἰησοῦς ἵνα ἁγιάσῃ διὰ τοῦ ἰδίου αἵματος τὸν λαὸν, ἔξω τῆς πύλης ἔπαθε. Τοίνυν ἐξερχώμεθα πρὸς αὐτὸν ἔξω τῆς παρεμβολῆς τὸν ὀνειδισμὸν αὐτοῦ φέροντες. Οὐ γὰρ ἔχομεν ὧδε μένουσαν πόλιν, ἀλλὰ τὴν μέλλουσαν ἐπιζητοῦμεν. Δι᾽ αὐτοῦ οὖν ἀναφέρωμεν θυσίαν αἰνέσεως διαπαντὸς τῷ Θεῷ, τουτέστι, καρπὸν χειλέων ὁμολογούντων τῷ ὀνόματι αὐτοῦ. Τῆς δὲ εὐποιΐας καὶ κοινωνίας μὴ ἐπιλανθάνεσθε. τοιαύταις γὰρ θυσίαις εὐαρεστεῖται ὁ Θεός. Ἀλληλούϊα.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης. Εὐαγγέλιον.

Ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου Εὐαγγελίου. Κεφ. ε΄. 22.

Εἶπεν ὁ Κύριος. πᾶς ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῇ, ἔνοχος ἔσται τῇ κρίσει. ὃς δ᾽ ἂν εἴπῃ τῷ ἀδελφῷ αὐτοῦ ῥακὰ, ἔνοχος ἔσται τῷ συνεδρίῳ. ὃς δ᾽ ἂν εἴπῃ μωρὲ, ἔνοχος ἔσται εἰς τὴν γέενναν τοῦ πυρός. Ἐὰν οὖν προσφέρῃς τὸ δῶρόν σου ἐπὶ τὸ Θυσιαστήριον, κἀκεῖ μνησθῇς ὅτι ὁ ἀδελφός σου ἔχει τι κατὰ σοῦ, Ἄφες ἐκεῖ τὸ δῶρόν σου ἔμπροσθεν τοῦ Θυσιαστηρίου, καὶ ὕπαγε πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ σου, καὶ τότε ἐλθὼν πρόσφερε τὸ δῶρόν σου. Ἐκτενὴ, καὶ ἀπόλυσις.

## ἈΚΟΛΟΥΘΙΑ.

Εἰς ἐγκαίνια Δίσκου καὶ Ποτηρίου, καινῶν καὶ ἀθίκτων.

Εἰρήνη πᾶσι. Τοῦ Κυρίου δεηθῶμεν.

Κατάπεμψον Κε ὁ Θεὸς ἡμῶν ἐπὶ τὸν Δίσκον τοῦτον τὴν ἁγιαστικὴν σου δύναμιν τοῦ παναγίου Πνεύματος, ἵνα ἐν αὐτῷ σφαγιάσωμεν

τὸν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὸν ἀμνὸν, καὶ προσφέρωμεν τὸ Σῶμα τοῦ Χριστοῦ σου, τοῦ αἴροντος τὴν ἁμαρτίαν τοῦ κόσμου, τὸ διαδιδόμενον τοῖς πιστοῖς, ὅπως μεταβῶσι ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν.

Εὐδοκίᾳ, καὶ τῇ σῇ ἀγαθότητι. νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Τοῦ Κυρίου δεηθῶμεν.

Ἐπίστασον Κύριε ἐπὶ τὸ ποτήριον τοῦτο ἐκ τῶν ἀπεριγράπτων σου κόλπων τὸ Πνεῦμά σου τὸ ἅγιον, τὸ Πνεῦμα τῆς ἀληθείας, τὸ Κύριον, καὶ ζωοποιόν. Ἵνα προφέρωμεν ἐν τούτῳ τὸ Αἷμά σου τὸ τίμιον, δι' οὗ ἐξέχεας ἔλεος ἐπὶ τῷ σῷ ποιμνίῳ εἰς ἄφεσιν ἁμαρτημάτων τοῖς πιστεύουσι, καὶ ὁμολογοῦσι τὰ παθήματά σου. Ὅτι σὺ εἶ ὁ δοτὴρ τῆς χάριτος, καὶ σοὶ πρέπει δόξα σὺν τῷ Πατρί σου, καὶ τῷ ζωοποιῷ σου Πνεύματι. νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα χρίει τῷ ἁγίῳ Μύρῳ. λέγων.

Εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ λέγει. Ἰδοὺ ἡγίασται, καὶ τετελείωται ὁ ἅγιος Δίσκος σὺν τῷ ἁγίῳ Ποτηρίῳ τοῦ ἁγίου Θυσιαστηρίου, τῇ ἐνεργείᾳ τοῦ Πατρὸς, καὶ τῇ εὐδοκίᾳ τοῦ μονογενοῦς αὐτοῦ Υἱοῦ, καὶ τῇ ἐπισκιάσει, καὶ τῇ ἐπιφοιτήσει τοῦ παναγίου Πνεύματος. νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΠΕΡΙ ΤΗΣ ΤΟΥ ΜΕΓΑΛΟΥ Μύρου κατασκευῆς ἐν τῇ μεγάλῃ Ἐκκλησίᾳ τῆς Κωνσταντινουπόλεως.

Ἐντὸς τῆς μεγάλης τεσσαρακοστῆς συνάγεται τὰ εἴδη, καὶ ἀπὸ τῆς δευτέρας τῆς ἑβδομάδος τῶν Βαΐων κοπανίζεται, καὶ κοσκινίζεται. Τῷ δὲ σαββάτῳ τοῦ Λαζάρου, καὶ τῇ κυριακῇ τῶν Βαΐων ἀποκομίζεται εἰς τὸν τεταγμένον τόπον, ἐν ᾧ μέλλει ἑψηθῆναι τὸ μῦρον, καὶ τὸ μὲν ἔλαιον εἰσάγεται εἰς τὸ Κακάβιον καὶ σταθμίζεται, ὁπόσον ἐστὶν, ἀπὸ δὲ τοῦ οἴνου εἰσάγεται εἰς τὸ ἕτερον Κακάβιον, ὅσον δέκα μέτρα. ἐμβάλλονται δὲ καὶ ἀπὸ τῶν βοτανῶν ταῦτα. Μυρσίνης φύλλα, Δάφνης, Δενδρολιβάνου, Σαμψύχου, Κόστου, Βαλσάμου, καὶ βράζει μετ' αὐτῶν. καὶ ὅταν γένηται ἱκανὴ ἡ βράσις αὐτῶν, ἐμβάλλεται ὁ οἶνος, καὶ σακκελίζεται, καὶ ἐμβάλλεται εἰς τὸ μέγα Κακάβιον ὅπου λέγεται εἶναι τὸ ἔλαιον.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Τῇ δὲ μεγάλῃ δευτέρᾳ τῷ πρωῒ, ἑτοιμάζεται παρὰ τῶν ὑπηρετῶν, κάτωθεν τοῦ Κακαβίου φρύγανα, πρὸς ἄναψιν τοῦ πυρὸς ἐπιτήδεια. καὶ πληρωθέντος τοῦ ὄρθρου εἰσέρχεται ἐκεῖ ὁ Πατριάρχης μετὰ τῶν κληρικῶν, καὶ τοῦ λαοῦ.

Καὶ γίνεται εὐλογητὸς παρ' αὐτοῦ, καὶ λέγεται Ἅγιος ὁ Θεός. τρεῖς. καὶ Παναγία τριὰς, Μετὰ τοῦ Πάτερ ἡμῶν, καὶ τὸ τροπάριον τῆς ἡμέρας, καὶ τὸ κοντάκιον, καὶ ἀπόλυσις.

Τούτων δὲ ψαλλομένων θυμιᾷ ὁ Πατριάρχης σταυροειδῶς τὸ Κακάβιον. εἶτα λαμβάνει λαμπάδα ἡμμένην, καὶ ἀνάπτει τὰ ὑποκάτωθεν τοῦ Κακαβίου φρύγανα, καὶ αὐτὸς μὲν καὶ ὁ λαὸς ἅπαξ ἐξέρχονται, οἱ δὲ εἰς τοῦτο τεταγμένοι ἀνάπτουσι πυρὰν ὅση εἶναι ἀρκετὴ πρὸς ἕψησιν τοῦ ἐλαίου. Βράζει δὲ καὶ τὸ ἕτερον κακάβιον μετὰ τοῦ οἴνου καὶ τῶν βοτανῶν, καὶ τότε ὁ οἶνος εἰσάγεται ὀλίγος ὀλίγος, εἰς τὸ μέγα κακάβιον. Ὀφείλει δὲ συνεχῶς βλέπεσθαι τὸ ἔλαιον, μήποτε κενωθέντος τοῦ εἰσαγομένου ὑγροῦ, κατέλθῃ εἰς τὸν πάτον τοῦ κακαβίου τὸ ἔλαιον. ὀφείλει γὰρ τὸ ἔλαιον ἀεὶ εὑρίσκεσθαι ἐπάνω πέντε δακτύλων τοῦ οἴνου. ὀφείλει δὲ ἑψῆσθαι δευτέρᾳ, τρίτῃ, καὶ τετάρτῃ.

Τῇ δὲ τετάρτῃ τὰ εἴδη ταῦτα. τὸ Λίβανον, τὸ Λάδανον, τὸ Μαστίχιον, καὶ ὁ Πατίτης, καὶ ὁ Στύραξ εἰσάγεται εἰς ἕτερον κακάβιον μικρὸν μετὰ ἐλαίου, καὶ προαλλοιωθέντα βράζονται, καὶ σακκελίζονται. καὶ εἰσάγεται τὸ ὑγρὸν ἐντὸς τοῦ μεγάλου Κακαβίου. Εἶτα εἰσάγονται καὶ τὰ ἕτερα εἴδη ἐντὸς τοῦ μεγάλου Κακαβίου, καὶ καλῶς συνταράσσονται. καὶ ἵστανται μέχρι τριῶν ὡρῶν, ἢ καὶ πλέον.

Εἶτα ἄρχονται οἱ πρὸς τοῦτο τεταγμένοι, καὶ ἐκφέρουσι τὸ Μύρον ἀπὸ τοῦ Κακαβίου, καὶ σακκελλίζουσιν αὐτὸ, καὶ εἰσφέρουσι, καὶ πληροῦσι τὰ τεταγμένα ἀγγεῖα εἰς τὴν ὑποδοχήν. ἀναβιβάζουσι δὲ καὶ εἰς Πατριαρχικὸν κελλίον, εἰσβάλλουσιν εἰς ἕτερον ἀγγεῖον, ὅπερ οὐχ ἁγιάζεται, ἀλλὰ τηρεῖται εἰς ἰατρικὴν χρείαν, ὅπερ ὀνομάζεται Νάρδον. Εἶτα ἐμπληροῦσι καὶ τὸν κρατῆρα ἐν ᾧ μέλλει εἰσέρχεσθαι τὸ Μύρον, καὶ οὕτω παρέρχεται ἡ μεγάλη τριάς.

Τῇ δὲ ἁγίᾳ καὶ μεγάλῃ Πέμπτῃ ἀντὶ τοῦ χερουβικοῦ, λέγομεν, τοῦ δείπνου σου τοῦ μυστικοῦ, καὶ τὰ λοιπὰ ὡς προεγράφη ὡς ἐν τῷ Εὐχολογίῳ φύλ. 254. μετὰ δὲ ταῦτα.

Τὰ δὲ εἴδη τοῦ μύρου εἰσὶ ταῦτα. Καρυόφυλλα, Σχοινάνθη, Κιννάμωμον, Ἄνθος Κινναμώμου, Πέπερι, Μακροπέπερι, Φύλλον ἰνδικὸν, Μάκερ, Τζιντζίβερ, Γαλαγκὰ, Στάχος, Κρόκος, Κάγ-

χρεον

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

χρεον μικρὸν, καὶ Κάγχρεον μέγα, Λευκοπέπερι, Ἄσαρ, Ξυλαλόη, Μοσχοκάρυα, Μαστίχη, Λίβανον, Λάδανον, Πατίτης, Στύραξ, Μόσχος, Ἄμπαρ, Βαλσαμέλαιον, Μυρσίνη, Δάφνη, Σάμψυχον, Δενδρολίβανον, Κόστος, καὶ Βάλσαμος.

## ΕΤΕ'ΡΑ ΤΑ'ΞΙΣ

Γινομένη εἰς τὸ ποιῆσαι καὶ κατασκευάσαι τὸ ἅγιον μύρον.

Ταῦτά ἐστι τὰ βάρεια τῆς κατασκευῆς.

Οἶνος εὐώδης κατὰ τὸ πρῶτον ἕψημα ἐμβάλλεται, καὶ ὕδωρ κατὰ τὸ ποσὸν τοῦ ἐλαίου, καὶ μετὰ τοῦτο ἐμβάλλεται τὸ ἔλαιον. καὶ οὕτω δεῖ ὑπανάφθῆναι τὴν κάμινον. Μυρσινόφυλλα, Δενδρολίβανον, Δαφνόφυλλα, Λάδανον, Σπάλαθον, Ἑλένιον, Ἴριν, Ἀειστολόχιν, Κασίαν, Βάλσαμον, Ξυλοβάλσαμον, Ναρδοστάχυν, Σχοίνου ἄνθος, καὶ ξύλον, Ἀρτίφυλλα στάχυς, Βόχον, Ξηρὰ Καρυόφυλλα, καὶ Τερέβινθον, ὃς λέγεται Ναρδῶ.

Καὶ μετὰ τὸ ἑψηθῆναι ταῦτα καθ᾽ ὅσον καιρὸν ὁ Μαΐστωρ ἐπικρίνει, πρὸς τὸ ποσὸν καὶ ποιὸν τῶν ἐμβαλλομένων εἰδῶν. σβεννύει τὴν κάμινον, καὶ τοῦ ἔργου χλιανθέντος, καὶ ἐκφορηθέντος ἀπὸ τοῦ Κακάβου. πάλιν ἐκ δευτέρου ἐμβάλλεται οἶνος εὐώδης σὺν χλιαρῷ ὕδατι ἅμα καὶ τὸ προεψηθὲν ἔλαιον, σὺν τοῖς ἀνωτέρω εἰρημένοις ἀρτύμασιν, ἔχον καὶ εἴδη ἕτερα κοπανισμένα εἰς λεπτότητα, πρὸς τὸ ποσὸν τοῦ ἔργου. Πέπερι, Κυμμάμωμον, Ξυλοκινάμωμον, Καρδάμωμον, Ἴριν Κελτικὴν, Μακροπέπερι, Κάγχρεον, Μητζόκοκκον, Ξηροτζίτζιβον, Ἄσαρ, Σμύρναν, Κύπερον. Καρυόφυλλα, Κάρυον ἀρωματικὴν. καὶ ἐν τῷ τέλει τοῦ ἑψήματος, Στύρακα, Γοφίτην, καὶ Λάνδανον. καὶ μετὰ ὥραν μίαν Μόσχον ἄκρατον, καὶ Ξυλαλόην.

Δεῖ δὲ τὸν ἐπιστατοῦντα ἀεὶ ἐγρηγορέναι, καὶ μὴ ἐπινυστάζειν, ἀλλ᾽ ἐπαγρυπνεῖν, καὶ κατὰ διαδοχὰς ἑτέρους ὑπηρέτας νηφαλέους ἐγκαθιστᾶν διαταράσσοντας τὸ ἔργον, καὶ ἀτενῶς ἐπὶ τὴν ἄνω βρᾶσιν ἐπιβλέποντας, ἵνα μὴ τοῦ ἐν τῷ Κακάβῳ σημείου ἀθεάτου γεγονημένου ὑπεραναβράσῃ τὸ ἔργον, καὶ πάντας σὺν τῷ ἐπιστάτῃ κατακαύσῃ, καὶ ὑπερχυθείη. ἀλλὰ τοὺς τῆς καμίνου ὑπηρέτας δεῖ παραγγέλειν τὴν κάμινον ὑπερφλογιζομένην δροσίζειν μετὰ ὕδατος ψυχροῦ, καὶ τὸ ἔργον ὑπεραναβαῖνον διὰ χλιαροῦ ὕδατος ταπεινοῦν.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Καὶ ἡ δευτέρα δὲ ἔμψησις εἰς τὴν τοῦ μαΐστωρος κεῖται ἐπίκρισιν, ἁπλῶς εἰπεῖν, πρὸς τὸ ποσὸν τοῦ ἐλαίου, καὶ τῶν ἐμβαλλομένων εἰδῶν.

Ἡ δὲ τῆς ἐμψήσεως τελετὴ ἄρχεται ἐν τῷ συμπληροῦσθαι τὴν τετάρτην τῶν νηστειῶν ἑβδομάδα. κατὰ γὰρ τὴν παρασκευὴν καθ᾽ ἣν εἴωθεν ἡ τῶν τιμίων ἄρσις γενέσθαι. ζήτει μετὰ τὴν λειτουργίαν ἐννάτης τελουμένης. Ἐνταῦθα λείπεσθαί τινα καθορᾶται.

Εἶτα ὁ Ἀρχιερεὺς τρεῖς παπύρους λαβὼν, καὶ τούτους ἐν ὕδατι ἐμβάψας. εἶτα τοῦ Τρισαγίου τὸν τίμιον σταυρὸν ἀπομαξάμενος, καὶ τὸ μὲν ἁγίασμα συντηρεῖται ὡς τὴν αὔριον, ὡσαύτως καὶ οἱ πάπυροι, καὶ ἀπολύσεως γενομένης, πάντες ἐν τῇ ἰδίᾳ ἀναπαύσει ἀπέρχονται.

Καὶ καθ᾽ ἑσπέραν ἤδη σαββάτου καθ᾽ ἣν ὁ λυχνικὸς ὕμνος τελεῖται, ὁ τῆς Ἐκκλησίας ἐκείνης Σκευοφύλαξ μετὰ τῶν ὑπ᾽ αὐτοῦ Χαρτουλαρίων, καὶ οἱ Χαρτουλάριοι μετὰ τῶν ὑπ᾽ αὐτῶν Θεωρῶν, ἀπέρχονται ἐν τῷ ἐμψητηρίῳ, καὶ μετὰ τῶν φελωνίων ἵστανται. καὶ τοῦ εὐλογητοῦ διδομένου παρὰ τοῦ ἐξ ἔθους ἱερέως, ἔχοντος τὴν προσκομιδὴν ἐκπληροῦν, ἄρχονται τοῦ Τρισαγίου, καὶ ἐν τῇ ἐκπληρώσει, τὸ μὲν ἁγίασμα παρὰ τοῦ μεγάλου Σκευοφύλακος ἐμβάλλεται ἐν τῷ Κακάβῳ, εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος.

Οἱ δὲ προμνημονευθέντες πάπυροι ἀπὸ τοῦ μεγάλου Σκευοφύλακος ὑπαναφθέντες ἀπὸ τῶν θείων κηρῶν ὑπανάπτονται. οἵτινες καὶ ἐν τῇ καμίνῳ ἐμβάλλονται, παρὰ τοῦ μαΐστωρος τοιούτου ἔργου, εἰς ὑπανάψιν τῆς ἐκεῖσε οὔσης ἐκ ξύλων ὕλης. καὶ ὁ μὲν Σκευοφύλαξ ἀποχωρεῖ. ἀφίησι δὲ τοὺς Χαρτουλαρίους, καὶ τοὺς πεῖραν ἔχοντας ἕνεκεν τοῦ τοιούτου ἔργου κατασκευῆς, καὶ τελειώσεως. καὶ ἀπ᾽ ἐκείνης τῆς ὥρας ἅπτει μέχρι τῆς πρώτης φυλακῆς τῆς νυκτὸς, ἤτοι τετάρτης ὥρας. εἶθ᾽ οὕτω σβέννυται, ὡς τῶν δούλων τῶν ἁπάντων εἰς ὕπνον τρεπομένων. καὶ ἐν ὄρθρῳ βαθεῖ ἐγείρονται πάντες θείας ὑμνῳδίας ἀποτελοῦντες, καὶ τοῦ ἔργου ἐπιμελούμενοι μέχρι καὶ ὅλης ἡμέρας Κυριακῆς σὺν τῇ πρώτῃ φυλακῇ τῆς νυκτός. εἶτα ἀναπαυσάμενοι μέχρι πρωΐας ὡς τῆς καμίνου πάσης σβεσθείσης.

Περὶ δὲ δευτέραν ὥραν τῆς ἡμέρας ἄρχονται οἱ τοῦ ἔργου ἐπιμεληταὶ ἐκφορεῖν τὸν Νάρδον χλιαρὸν ὄντα, καὶ ἐμβάλλειν αὐτὸν ἐν τῇ Σκάφῃ. καὶ τοῦ Κακάβου ἀποπλυθέντος, πάλιν ἐκ δευτέρου, οἶνος ἕτερος ἐμβάλλεται σὺν ὕδατι χλιαρῷ. ὡς τοῦ προτέρου κενωθέντος καὶ ἐν ἀβάτῳ τόπῳ ἀποχυθέντος, μετὰ τῆς κεκαυμένης ἐκείνης ὕλης. καὶ τῆς ἐμψήσεως ἀρχομένης ἀπὸ ὥρας ἐννάτης τῆς δευτέρας μετὰ καὶ εἰδῶν



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῶν ἐν τῇ δευτέρᾳ ἐμφυσήσει προγραφέντων. Τελοποιεῖται δὲ τὸ τοιοῦτον σὺν Θεῷ μέχρι καὶ μεσονυκτίου τῆς τρίτης ἐπιφαινούσης, καὶ μένει τὸ ἔργον μέχρι καὶ ὥρας τρίτης ἀνεξάντλητον. Καὶ μετὰ τὸ ἄριστον, ὅ,τε μέγας Σκευοφύλαξ, καὶ οἱ χαρτουλάριοι, καὶ οἱ ὑπ' αὐτῶν θεωροὶ μετὰ τῶν ὑπηρετῶν δόξαν ἀναπέμπουσι Θεῷ τοιαύτην.

Εἰρήνη πᾶσι. Τῷ Κυρίῳ δεηθῶμεν.

Εὐχαριστοῦμέν σοι Δέσποτα Θεὲ παντοκράτορ αἰώνιε, καὶ Κύριε Ἰησοῦ Χριστὲ, μονογενὲς ἀπαύγασμα τοῦ Πατρὸς, καὶ πνεῦμα ἅγιον ἐκ Πατρὸς ἐκπορευόμενον, καὶ ἐν Υἱῷ διαμένον, τὸ τὰ πάντα τελειοποιοῦν καὶ ἁγιάζον, Τρισυπόστατε Μονὰς, φύσις ἀδιαίρετε, ὅτι κατηξίωσας ἡμᾶς τελειῶσαι τὸ ἔργον τοῦτο, εἰς ἁγιασμὸν καὶ καύχημα τῶν ὀρθοδόξων χριστιανῶν. πρεσβείαις τῆς ὑπερενδόξου Θεοτόκου, τῶν ἀΰλων σου λειτουργῶν, τῶν ἁγίων καὶ πανευφήμων Ἀποστόλων, καὶ πάντων σου τῶν ἁγίων, τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων. Ὁ λαὸς, Ἀμήν.

Καὶ μετὰ τὸ, Ἀμὴν, ἄρχεται ὁ μαΐστωρ τοῦ ἁγίου μύρου, ἐμμελεῖ καὶ διατόρῳ φωνῇ εἰς ἐπήκοον πάντων, διαφωνοῦν τὸ, Ἐστεφανώθης ἔργον, ἤδη ἐτελειώθης. καὶ τοῦ λαοῦ ἀντᾴδοντος τὸ αὐτό. πάλιν ὁ Μαΐστωρ λέγει. Διὰ πρεσβειῶν τῆς ὑπεραγίας Θεοτόκου. καὶ ὁ λαὸς. Ἐστεφανώθης ἔργον, ἤδη ἐτελειώθης. καὶ τῆς εὐφημίας γενομένης, καὶ γενομένης ἀπολύσεως, πάντες ἐπὶ τὰ οἰκεῖα ἀπαίρουσιν.

Καὶ κατὰ τὴν τετράδα ἐκφέρουσι τὸν Νάρδον ἐκ τοῦ Κακάβου, καὶ ἐμβάλλουσιν αὐτὸν ἐν ἀγγείοις ἀχρίστοις, καὶ παραφυλάσσεται μέχρι τῆς μεγάλης πέμπτης.

Τῇ μεγάλῃ πέμπτῃ, ὅτε μέλλει ἡ λειτουργία ἄρχεσθαι, ἀλλάσσει ὁ Ἀρχιερεὺς τὰ τοῦ κλήρου, καὶ ἔρχονται ἔνθα καὶ τὸ ἔργον κεῖται. καὶ λέγει τὰς εὐχάς. Βαστάζεται δὲ παρὰ τοῦ Σκευοφύλακος σκεπασμένον παρὰ ἁγίας ἀναφορᾶς. τίθεται ἄνω ἐκ δεξιῶν τῆς ἁγίας Τραπέζης. ὁ δὲ Ἱερεὺς ἐπεύχεται οὕτως.

Εἰρήνη πᾶσι. Τοῦ Κυρίου δεηθῶμεν. Εὐχή.

Ὁ Τῆς ἡμετέρας φύσεως Κύριος καὶ λυτρωτὴς, ὁ αἴρων καὶ καθαίρων τοῦ κόσμου τὰς ἁμαρτίας, ὁ οὐράνιος καὶ λογικὸς ἀμνὸς τοῦ Θεοῦ, δέσποτα Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ ἐν τῷ ἱερῷ ὑπερῴῳ τυπικὸν Πάσχα μετὰ τῶν Μαθητῶν σου τελέσας, καὶ καταπαύσας, τὸ δὲ ἀληθὲς καὶ σωσόψυχον Πάσχα μυσταγωγήσας ἑκουσίως, καὶ πρὸς τὴν θεοκτόνον ἐπιδρομὴν εἰς θυσίαν σεαυτὸν τῷ Θεῷ καὶ Πατρὶ προσενέγκας, καὶ τῆς ἰδίας σαρκὸς καὶ τοῦ κοσμορρύτου Αἵματος τοὺς σοὺς Μαθητὰς ἀπογεύσας,

καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ τοῦτο διηνεκῶς μέχρι τῆς σῆς ἐπελάσεως ποιεῖν διατάξας, ὁ τὴν ἐν τῇ κιβωτῷ Νῶε περιστερὰν ἐξαποστείλας, κάρφος ἐλαίας φέρουσαν διὰ τοῦ στόματος καταλλαγὴν καὶ σύμβολον σωτηρίας τε τῆς ἀπὸ τοῦ κατακλυσμοῦ, καὶ τὸ τῆς χάριτος μυστήριον δι' ἐκείνων προτυπώσας, ὁ καὶ τῆς ἐλαίας τὸν καρπὸν εἰς ἀποπλήρωσιν τῶν ἁγίων μυστηρίων χορηγήσας, ὁ δι' αὐτοῦ καὶ τοὺς ἐν νόμῳ πνεύματος ἁγίου πληρώσας, καὶ τοὺς ἐν χάριτι τελειῶν· αὐτὸς εὐλόγησον καὶ τοῦτο τὸ Μύρον, ἁγίασον αὐτὸ τῇ δυνάμει, καὶ ἐνεργείᾳ, καὶ ἐπιφοιτήσει τοῦ ἁγίου Πνεύματος. ὥστε γενέσθαι αὐτὸ χρίσμα ἀφθαρσίας, ὅπλον δικαιοσύνης, ἀνακαινισμὸν ψυχῆς καὶ σώματος, πάσης διαβολικῆς ἐνεργείας ἀποτρόπαιον, εἰς ἀπαλλαγὴν κακῶν πάντων τοῖς χριομένοις ἐξ αὐτοῦ, εἰς δόξαν σὴν, καὶ τοῦ μονογενοῦς σου Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

**Καὶ πάλιν λέγει.** Εἰρήνη πᾶσι. Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Θεὸς ὁ μέγας καὶ ὕψιστος, ὁ ὑπὸ πάσης τῆς κτίσεως προσκυνούμενος, ἡ τῆς σοφίας πηγὴ, καὶ τῆς ἀγαθότητος ἄβυσσος, τὸ τῆς εὐσπλαγχνίας ἀπειρόρειστον πέλαγος· αὐτὸς φιλάνθρωπε δέσποτα, ὁ τῶν αἰώνων καὶ θαυμασίων Θεὸς, ὃν οὐδεὶς ἐννοῶν ἰσχύει καταλαβέσθαι· ἐπίβλεψον, καὶ εἰσάκουσον ἡμῶν τῶν δούλων σου, σὲ ἱκετεύομεν, καὶ σὲ παρακαλοῦμεν καὶ δεόμεθα, κατάπεμψον τὸ ἅγιόν σου Πνεῦμα καὶ ἁγίασον τὸ Μύρον τοῦτο, καὶ ποίησον αὐτὸ Μύρον ἀγαλλιάσεως Πνεύματος ἁγίου, Μύρον ἀναγεννήσεως, χρῖσμα ἁγιασμοῦ, ἔνδυμα βασιλικὸν, θώρακα δυνάμεως, πάσης διαβολικῆς ἐνεργείας ἀποστροφὴν, σφραγῖδα ἀνεπιβούλευτον, ἀγαλλίαμα καρδίας, εὐφροσύνην αἰώνιον. ἵνα ἐκ τούτου χριόμενοι ἐκλάμποντες ὡς οἱ φωστῆρες τοῦ Οὐρανοῦ τῇ φαιδρότητι μὴ ἔχοντες σπῖλον ἢ ῥυτίδα καταδεχθῶσιν εἰς ταῖς αἰωνίους ἀναπαύσεις, καὶ δέξωνται τῆς ἄνω κλήσεως. χάριτι καὶ οἰκτιρμοῖς, καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ.

**Καὶ μετὰ τὸ, Ἀμὴν, βαστάζεται παρὰ τοῦ Σκευοφύλακος, καὶ τίθεται ἐν τῇ ἁγίᾳ ῥεπέζῃ. εἶτα ἄρχεται ἡ λειτουργία, μέχρις ὅτου εἰπεῖν τοὺς Ψάλτας τὸ Ἀπολυτίκιον, καὶ τὸ Κοντάκιον. Καὶ μετὰ τοῦτο εἷς τῶν ἀρχόντων ἄρχεται τῆς εὐφημίας (Ἐστεφανώθης ἔργον, ἤδη ἐτελειώθης.) Καὶ μετὰ τὴν εὐφημίαν, κειμένου τοῦ Μύρου ἐν τῇ ἁγίᾳ Τραπέζῃ, λέγει ὁ Διάκονος.** Τοῦ Κυρίου δεηθῶμεν,

Καὶ ὁ Ἀρχιερεύς. Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν.

**Καὶ ψάλλεται ὁ τρισάγιος ὕμνος. Ὁ Ἀπόστολος. Καὶ τὸ Εὐαγγέλιον.**

λιον. ὅτε δὲ μέλλουσιν εἰσοδάκειν, ἢ ψάλλειν τὸ χερουβικὸν ὕμνον, βαστάζει καὶ ὁ Σκευοφύλαξ τὸ ἅγιον Μύρον, καὶ εἰσοδάκει μετὰ τῶν ἁγίων δώρων.

## ΕΥ'ΧΗ'

### Ε'πὶ προσφερόντων Καρπὸν νέον.

Ευ'χαριςοῦμέν σοι Κύριε ὁ Θεὸς, καὶ προσφέρομεν ἀπαρχὴν καρπῶν, οὓς ἔδωκας ἡμῖν εἰς μετάληψιν, τελεσφορήσας διὰ τοῦ λόγου σου, καὶ κελεύσας καρποὺς παντοδαποὺς εἰς εὐφροσύνην καὶ τροφὴν τοῖς ἀνοῖς, καὶ παντὶ ζώῳ ἐν πάσῃ γῇ. ὑμνοῦμέν σε ὁ Θεὸς ἐν πᾶσιν οἷς εὐηργέτησας ἡμᾶς, καὶ πᾶσαν κτίσιν παντοίοις καρποῖς διὰ τοῦ παιδός σου Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. δι' οὗ καὶ σοὶ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Α'μήν.

Ε'υλογοῦνται δὲ καρποὶ τοιοῦτοι. Σταφυλαὶ, Σῦκα, Ρ'ῶα. Ε'λαῖαι, Μῆλα, Ρ'οδάκινα Πόρσικα, Δαμάσκηνα.

## ΕΥ'ΧΗ'

### Ε'πὶ τῶν καρποφορούντων.

Π'Ηγὴ τῶν ἀγαθῶν, Δέσποτα βασιλεῦ, καὶ εὐεργέτα τῶν σῶν ποιημάτων πρόσδεξαι κατὰ τὴν σὴν ἀγαθότητα τὴν καρποφορίαν τοῦ (δεῖνος) καὶ τοῦ (δεῖνος) εἰς ὀσμὴν εὐωδίας. καὶ ἔμπλησον τὰ ταμεῖα αὐτῶν παντὸς ἀγαθοῦ, καὶ ῥῦσαι αὐτοὺς ἀπὸ παντὸς πειρασμοῦ, μετὰ πάντων τῶν αὐτοῖς προσηκόντων, καὶ φώτισον αὐτοὺς ἐν τῇ γνώσει σου. ἵνα εὐαρεστήσαντές σοι καταξιωθῶσι τῶν αἰωνίων, καὶ ἀφθάρτων σου ἀγαθῶν. ὅτι ηὐλόγηται τὸ ὄνομά σου τοῦ Πατρός.

## ΕΥ'ΧΗ'

### Ε'πὶ κολύβοις κοιμηθέντων.

Κ'Υ'ριε ὁ Θεὸς ἡμῶν, ἐλπὶς πάντων ἐπικαλουμένων σε καὶ ἐπεγνωκότων σου τὸ πανάγιον ὄνομα, τὰ εἰς μνήμην ἀναπαυσαμένου δούλου σου (δεῖνος) ἐν τῷ ἁγίῳ Ναῷ σου προτεθέντα σπέρματα εὐλόγησον, καὶ τὸν δι' ὃν ταῦτα προηνέχθησαν ἐν κόλποις Α'βραὰμ, καὶ

ἐν τῇ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐν τῇ χώρᾳ φυφάντων κατασκηνώσωσιν, ἄφεσιν αὐτῷ καὶ τῶν ἐπταισμένων συγχώρησιν παρεχόμενος. ναὶ Δέσποτα, ὁ τὴν ἀνθρωπίνην ἀσθένειαν εἰδὼς, καὶ τὸ ταύτης ὀλισθον, μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ ἐν πίστει εἰς σὲ, καὶ ἐλπίδι μεταφοιτήσαντος. διδοὺς καὶ ἡμῖν ἐκτελεῖν ἐν ἁγιωσύνῃ τὰς ἐντολάς σου, καὶ τοὺς τὴν αὐτοῦ κοίμησιν ἐκτελοῦντας ἀξίως τῆς προαιρέσεως ἀμειβόμενος. Ἐκφώνως.

Ὅτι σὺ εἶ τῶν κεκοιμημένων ἀνάπαυσις, καὶ σοὶ τὴν δόξαν.

## ΕΥΧΗ

Ἐπὶ μνήμῃ τοῦ Ἁγίου διὰ δόσεως Κρεῶν, Οἴνου, Ἄρτου, καὶ Κολύβων.

Ὁ εὐλογήσας τὴν θυσίαν τοῦ Ἀβραὰμ Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ προσδεξάμενος τοῦ Ἠλίου τὰς ὁλοκαρπώσεις, ὁ τῇ προθέσει ἡμῶν ἀντιμετρῶν τὰς εὐεργεσίας σου, μᾶλλον δὲ πλείους τὰς ἀμοιβὰς τῶν ἀτελῶν ἡμῶν ἀγαθοεργιῶν παρεχόμενος. εὐλόγησον ταῦτα τὰ εἰς τιμὴν τῶν ἁγίων σου προσαχθέντα, καὶ εἰς πενήτων διανομὴν προσηκάμενα. ταῦτα ὡς τὴν τοῦ Ἄβελ θυσίαν πλήθυνον, τὰ γεννήματα τῶν προσενεγκόντων καὶ τὰ ποίμνια αὐτῶν, καὶ βουκόλια πολύτοκα, καὶ τὰς βόας παχεῖς ἐν τῇ σῇ ἀγαθότητι ποίησον. καὶ αὐτοῖς σωτηρίαν ψυχῆς ἀνθ' ὧν μέμνηνται τῶν πτωχῶν τοῦ λαοῦ σου ἐν τῇ δικαιοκρισίᾳ σου δώρησαι. ἵνα πάντες αὐτάρκειαν ἔχοντες: εἰς πᾶν ἔργον ἀγαθὸν, καὶ σοὶ εὐάρεστον περισσεύσωσι, δοξάζοντες τὸ πανάγιον ὄνομά σου τοῦ Πατρός.

## ΑΚΟΛΟΥΘΙΑ

Λεγομένη, Ὥρα, ἡνίκα ἂν Ἀρχιερεὺς λύσῃ Ἱερέα ἀφορισθέντα.

Ποιεῖ ἀφ' ἑσπέρας Ἑσπερινὸν συνήθως, ἔτι δὲ καὶ τὸν Ὄρθρον. εἶτα πληροῖ ὁ Ἀρχιερεὺς μετὰ τῆς ψαλτῆρος, καὶ τὴν θείαν λειτουργίαν. καὶ μετὰ τὸ πληρῶσαι ταύτην, ἔτι ὢν ἐνδεδυμένος τὴν ἀρχιερατικὴν στολὴν, ψάλλει τὸν κανόνα τοῦ δεσπότου Χριστοῦ. καὶ πληρωθέντος τοῦ κανόνος λέγει καὶ τὰ ιά. Ἑωθινὰ Εὐαγγέλια. καὶ τούτων πληρουμένων, λέγει τὴν εὐχὴν ταύτην ἐπὶ τὴν κεφαλὴν τοῦ μέλλοντος λαμβάνειν συγχώρησιν.

Εἰρήνη πᾶσι. Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Θεὸς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ὁ Θεὸς ὁ φοβερὸς, καὶ φιλάνθρωπος, ὁ δυνατὸς καὶ εὔσπλαγχνος, ὁ διὰ τὰς σὰς οἰκτιρμοὺς ἐξαποστείλας τὸν μονογενῆ σου Υἱὸν εἰς τὸν κόσμον, ἵνα διαῤῥήξῃ τὸ καθ' ἡμῶν χειρόγραφον τῶν πλημμελημάτων, καὶ λύσῃ τὰ δεσμὰ τῶν ὑπὸ τῆς ἁμαρτίας πεπεδημένων, καὶ κηρύξῃ αἰχμαλώτοις ἄφεσιν· σὺ Δέσποτα καὶ τὸν δοῦλόν σου (τὸν δεῖνα) τῇ σῇ ἀγαθότητι ἐλευθέρωσον τοῦ ἐπικειμένου αὐτῷ δεσμοῦ, καὶ διάσπασον στραγγαλιὰς βιαίων συμπλοκῶν. ὁ πάντα ποιῶν καὶ μετεσκευάζων ὡς βούλῃ σὺ, δυνάμει, καὶ τῇ ἰσχύϊ σου. αὐτὸς πανάγαθε διάλυσον καὶ τὸν δοῦλόν σου τὸν (δεῖνα) ἱερέα, καὶ ἄκυρον ποίησον πάντα λόγον δεσμοῦ καὶ ἀναθεματισμοῦ, πᾶσαν κατάραν καὶ ἀφορισμὸν, ὅσα ἐπενέχθη αὐτῷ, καὶ ἐλευθέρωσον εἰς ζωὴν αἰώνιον. σὺ γὰρ εἶπας Κύριε τῷ πρωτοκορυφαίῳ τῶν Ἀποστόλων Πέτρῳ, ὅτι σοὶ δίδωμι τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν, καὶ ὅσα ἂν λύσῃς ἐπὶ τῆς γῆς, ἔσται λελυμένα καὶ ἐν τοῖς οὐρανοῖς. αὐτὸς οὖν Κύριε πανάγαθε Βασιλεῦ εὐδόκησον λυθῆναι καὶ τὸν δοῦλόν σου τὸν (δεῖνα) ἱερέα διὰ τῆς ἐμῆς ἀναξιότητος, παντὸς δεσμοῦ καὶ ἀναθεματισμοῦ, πᾶσαν κατάραν καὶ ἀφορισμὸν ἄκυρον ποίησον κατ' αὐτοῦ. διὰ τῆς πρεσβείας τῆς ἀειπαρθένου, καὶ Θεοτόκου Μαρίας, τῆς ἀσπόρως, καὶ ὑπὲρ φύσεως ὑπὲρ λόγον τεκούσης σε, τῶν ἁγίων καὶ πανευφήμων ἀποστόλων σου, καὶ πάντων σου τῶν ἁγίων. ἀξίωσον πάλιν παραστῆναι ἐνώπιον τοῦ φρικτοῦ βήματός σου, καὶ ἔμπροσθεν τοῦ θρόνου τῆς δόξης σου, τοῦ προσφέρειν σοι ὁσίως καὶ καθαρῶς, καὶ εὐπροσδέκτως τὰς ἀναιμάκτους θυσίας. Ὅτι σὺ εἶ ὁ ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ σὺν τῷ ἁγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι. νῦν καὶ ἀεὶ, καὶ.

Καὶ οὕτω γίνεται ἀπόλυσις τῆς ἱερᾶς μυσταγωγίας ἐπάνω τῆς κεφαλῆς τοῦ λυθέντος ἱερέως. καὶ ἐπιτιμᾷ αὐτὸν τὸ ἀρκετὸν, καθὼς δύναμις αὐτῷ. καὶ ἀπέρχεται λελυμένος καὶ ἀπὸ Θεοῦ.

## Α'ΚΟΛΟΥΘΙΑ

Εἰς λύσιν ἀφορισμοῦ ἱερέως ἐπὶ κοσμικόν τινα δεσμευθέντα παρ' αὐτοῦ τοῦ ἱερέως ἕνεκα ὕβρεως.

Ποιεῖ τὴν προγεγραμμένην ἀκολουθίαν ἀπαραλείπτως χωρὶς τῶν ἑωθινῶν εὐαγγελίων.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Πληρωθέντος δὲ τοῦ ὄρθρου ἄρχεται ὁ Ἱερεὺς τῆς λειτουργίας, καὶ μετὰ τὸ τέλος, πρὶν τοῦ ποιῆσαι ἀπόλυσιν, ἔτι φορεμένος ὢν λέγει ἐπὶ τὴν κεφαλὴν τοῦ δεδεμένου τοιαύτην εὐχήν.

Εἰρήνη πᾶσι. Τοῦ Κυρίου δεηθῶμεν.

Εὔσπλαγχνε Κύριε ἀγαθὲ καὶ φιλάνθρωπε, ὁ διὰ τοὺς σοὺς οἰκτιρμοὺς ἐξαποστείλας τὸν μονογενῆ σου Υἱὸν εἰς τὸν κόσμον, ἵνα διαῤῥήξῃ τὸ καθ' ἡμῶν χειρόγραφον τῶν πλημμελημάτων, καὶ λύσῃ τὰ δεσμὰ τῶν ὑπὸ τῆς ἁμαρτίας πεπεδημένων, καὶ κηρύξῃ αἰχμαλώτοις ἄφεσιν. σὺ δέσποτα καὶ τὸν δοῦλόν σου τὸν (δεῖνα) τῇ σῇ ἀγαθότητι ἐλευθέρωσον τοῦ ἐπικειμένου αὐτῷ δεσμοῦ, καὶ ἀφορισμοῦ, καὶ ἆρον αὐτῷ τὸν ἐπιθέντα δεσμὸν, καὶ ζυγὸν, καὶ δώρησαι αὐτῷ τελείαν συγχώρησιν, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος. καὶ μὴ χωρίσῃς αὐτὸν τῆς ἁγίας σου καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας, σύναψον αὐτὸν τῇ καθαρᾷ σου ποίμνῃ τῶν λογικῶν προβάτων, καὶ ἀξίωσον αὐτὸν πάλιν τῆς βασιλείας σου γενέσθαι κληρονόμον. ὅτι σὺ εἶπας, οὐ θέλω θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν. δώρησαι αὐτῷ ἀναμαρτήτως πορεύεσθαι, καὶ ἀξίωσον αὐτὸν μεταλαβεῖν τοῦ ἀχράντου Σώματός σου, καὶ τοῦ τιμίου Αἵματός σου τῆς οἰκονομίας σου· διὰ τῶν πρεσβειῶν τῆς ὑπεράγνου δεσποίνης ἡμῶν Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας, τοῦ τιμίου προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων καὶ πανευφήμων Ἀποστόλων, καὶ πάντων σου τῶν ἁγίων. παρακλήθητι Κύριε, καὶ συγχώρησον αὐτῷ τελείαν συγχώρησιν, καὶ παντὸς δεσμοῦ λῦσον, πᾶσαν κατάραν καὶ ἀφορισμὸν ἄκυρον ἅπαντα ποίησον, καὶ δώρησαι αὐτῷ μετὰ παῤῥησίας, καὶ καθαροῦ συνειδότος προσιέναι τῇ σῇ μεγαλειότητι, καὶ αἰτεῖσθαι παρὰ σοῦ τὰ πλούσιά σου ἐλέη. Ὅτι φιλάνθρωπος, καὶ οἰκτίρμων ὑπάρχεις Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ πρέπει δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Καὶ οὕτω τελεῖ τὴν ἀπόλυσιν τῆς λειτουργίας ἐπάνω τῆς κεφαλῆς αὐτοῦ, καὶ ἀπολύει αὐτόν.

## ΕΥ'ΧΗ' Ε'ΤΕ'ΡΑ

Εἰς τὸ ἀπολῦσαι κανόνα εἰς ἀφορισθέντα.

Εἰρήνη πᾶσι. Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ παραγενόμενος ἐπὶ τοὺς ἁγίους σου μαθητὰς καὶ Ἀποστόλους, τῶν θυρῶν κεκλεισμένων, καὶ τὴν εἰρήνην σου δοὺς αὐτοῖς,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

αὐτοῖς, λέγων. ἄν τινων ἀφῆτε τὰς ἀφ' ἑαυτῶν γενομένας ἁμαρτίας, ἀφίενται αὐτοῖς. ἄν τινων κρατῆτε κεκράτηνται. αὐτὸς καὶ νῦν δέσποτα πολυεύσπλαγχνε, παρακλήθητι ὑπὲρ τοῦ δούλου σου τοῦ (δεῖνα,) καὶ λῦσον τὰ ἁμαρτήματα αὐτοῦ, καὶ τὴν κηλίδα, καὶ τὸν σπίλον τῆς ψυχῆς αὐτοῦ καθάρισον. ἐπειδὴ γὰρ ἐν πλημμελείαις πεσών, πρὸς σὲ κατέφυγε τὸν μόνον εὐδιάλλακτον. καὶ ὡς ἔλυσας τοὺς προημαρτηκότας πόρνας καὶ τελώνας, καὶ ὡς ἔδωκας αὐτοῖς τελείαν συγχώρησιν, οὕτως λῦσον καὶ τὸν δοῦλόν σου τὸν (δεῖνα) ἐκ τοῦ ἐγκειμένου δεσμοῦ τοῦ ἀφορισμοῦ. ὅτι σὺ εἶ ὁ θέλων πάντας ἀνθρώπους σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν εἰς τοὺς αἰῶνας. Ἀμήν.

## ΕΥΧΗ

### Ἐπὶ προχειρίσει Βασιλέως.

Μετὰ τὸ φορέσαι τὸν μέλλοντα σὺν Θεῷ βασιλεύειν πάντα τὰ βασιλικὰ ἱμάτια, ἄνευ τῆς χλαμύδος, τοῦ στέμματος, καὶ τῆς φίβλας. ταῦτα γὰρ ἐν τῷ Ἀντιμινσίῳ προαποτίθενται. ἵσταται ἐν τῷ ἄμβωνι. οὗ ἔμπροσθεν ἱστάμενος ὁ Πατριάρχης, καὶ παρεστῶτος τοῦ μέλλοντος στέφεσθαι. τοῦ Διακόνου ποιοῦντος συναπτήν, καὶ κλίνοντος ἐκείνου τὴν κεφαλήν, εὔχεται ὁ Πατριάρχης.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ Βασιλεὺς τῶν βασιλευόντων καὶ Κύριος τῶν κυριευόντων, ὁ διὰ Σαμουὴλ τοῦ προφήτου ἐκλεξάμενος τὸν δοῦλόν σου Δαβίδ, καὶ χρίσας αὐτὸν εἰς βασιλέα ὑπὲρ τὸν λαόν σου Ἰσραήλ. αὐτὸς καὶ νῦν ἐπάκουσον τῆς δεήσεως ἡμῶν τῶν ἀναξίων, καὶ ἔπιδε ἐξ ἁγίου κατοικητηρίου σου, καὶ τὸν πιστόν σου δοῦλον (τὸν δεῖνα) ὃν εὐδόκησας καταστῆσαι βασιλέα ὑπὲρ τὸ ἔθνος σου τὸ ἅγιον, ὃ περιεποιήσω τῷ τιμίῳ αἵματι τοῦ μονογενοῦς σου Υἱοῦ χρῖσαι καταξίωσον τῷ ἐλαίῳ τῆς ἀγαλλιάσεως. ἔνδυσον αὐτὸν δύναμιν ἐξ ὕψους. ἐπίθες ὑπὲρ τὴν κεφαλὴν αὐτοῦ στέφανον ἐκ λίθου τιμίου. χάρισαι αὐτῷ μακρότητα ἡμερῶν. δὸς ἐν τῇ δεξιᾷ αὐτοῦ σκῆπτρον σωτηρίας. ἐνίδρυσον αὐτὸν τῷ θρόνῳ τῆς δικαιοσύνης. περίφραξον αὐτὸν τῇ πανοπλίᾳ τοῦ ἁγίου σου Πνεύματος. ἐνίσχυσον αὐτοῦ τὸν βραχίονα, ὑπόταξον αὐτῷ πάντα τὰ βάρβαρα ἔθνη. ἔνσπειρον ἐν τῇ καρδίᾳ αὐτοῦ τὸν φόβον σου, καὶ τὴν πρὸς τοὺς ὑπηκόους συμπάθειαν. διατήρη-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τήρησον αὐτὸν ἐν τῇ ἀμωμήτῳ πίστει. ἀνάδειξον αὐτὸν ἀκριβῆ φύλακα τῶν τῆς ἁγίας σου καθολικῆς ἐκκλησίας δογμάτων. ἵνα κρίνῃ τὸν λαόν σου ἐν δικαιοσύνῃ, καὶ τοὺς πτωχούς σου ἐν κρίσει, σώσῃ τοὺς υἱοὺς τῶν πενήτων, καὶ κληρονόμος γένηται τῆς ἐπουρανίου σου βασιλείας. Ὅτι σὸν τὸ κράτος, καὶ σοῦ ἐστὶν ἡ βασιλεία, καὶ ἡ δύναμις.

Καὶ μετὰ τὸ, Ἀμήν, ἐπαίρει τὸ χλαμύδιον ὁ Πατριάρχης, καὶ ἀποδίδωσιν αὐτὸ τοῖς βεστίτορσι, καὶ τὴν φίβλαν.

Εἰ δὲ ἔστιν ὁ στεφόμενος υἱὸς βασιλέως, ἢ θυγάτηρ, ἢ γυνή, οὐ τοῖς βεστίτορσιν, ἀλλὰ τῷ Βασιλεῖ ἀποδίδωσι ταῦτα ὁ Πατριάρχης σφραγίσας. ὁ δὲ περιτίθησιν αὐτὰ τῷ στεφομένῳ, καὶ λέγοντος τοῦ Πατριάρχου. **Εἰρήνη πᾶσι.** Ὁ Διάκονος. **Τὰς κεφαλάς.** Ὁ Ἱερεὺς ἐπεύχεται.

**Σοὶ τῷ μόνῳ Βασιλεῖ τῶν ἀνθρώπων, ὁ τὴν ἐπίγειον βασιλείαν ὑπὸ σοῦ πιστευθείς, ὑπέκλινε τὸν αὐχένα σὺν ἡμῖν. καὶ δεόμεθά σου Δέσποτα τῶν ἁπάντων, φύλαξον αὐτὸν ὑπὸ τὴν σκέπην τὴν σήν, κραταίωσον αὐτοῦ τὴν βασιλείαν, τὰ ἀρεστά σοι πράττειν διὰ παντὸς αὐτὸν καταξίωσον, ἀνάτειλον ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνην, καὶ πλῆθος εἰρήνης. ἵνα ἐν τῇ γαλήνῃ αὐτοῦ ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν ἐν πάσῃ εὐλαβείᾳ καὶ σεμνότητι. Σὺ γὰρ εἶ ὁ βασιλεὺς τῆς εἰρήνης, καὶ Σωτὴρ τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν. καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν.**

Καὶ μετὰ τὸ, **Ἀμήν,** λαμβάνει ἐκ τοῦ Ἀντιμινσίου τὸ στέμμα ὁ Πατριάρχης, καὶ κρατῶν αὐτὸ ταῖς δυσὶ χερσί, στέφει αὐτὸν λέγων.

**Εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος.**

Καὶ τοῦτο μὲν γίνεται ὅτε ὁ Βασιλεὺς στέφεται. ὅτε δὲ ἐστὶν υἱός, ἢ θυγάτηρ, τὸ στέμμα οὐκ ἐπιτίθησιν ὁ Πατριάρχης, ἀλλ' ἐπιδίδωσιν αὐτὸ τῷ Βασιλεῖ, κἀκεῖνος στέφει αὐτούς. καὶ εἰ μὲν γυνή ἐστιν ἡ στεφομένη, στέφεται εἰς τὸ αὐγουστάλιον, εἰς τὸ Ἀντιμίνσιον. εἰ δὲ ἀνήρ, ἐν τῷ ἄμβωνι τῆς μεγάλης Ἐκκλησίας. καὶ κοινωνεῖ προηγιασμένα, καὶ προσκυνεῖ τὰ σκῆπτρα τρίς, λέγων.

**Δόξα ἐν ὑψίστοις Θεῷ.** καὶ [illegible] ὑπτοῦσι καὶ τὸν στεφανούμενον. εἰς δὲ τὰς αὐγούστας προσαποτίθεται ἐκεῖσε [illegible] στέμμα. καὶ ἱσταμένου τοῦ Βασιλέως, καὶ τοῦ Πατριάρχου, εἰσάγεται ἡ Βασίλισσα παρὰ τοῦ Πραιποσίτου, καὶ παρίστησιν αὐτὴν τῷ Πατριάρχῃ κεκαλυμμένην μαφορίῳ. καὶ τοῦ Ῥαιφερενδαρίου ποιοῦντος συναπτήν, ἐπεύχεται ὁ Πατριάρχης τὴν εὐχήν, ἣν ποιεῖ ἐπὶ τοῦ Βασιλέως, ἐναλλάττων

μόνον

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μόνον τὰ ῥήματα πρὸς γυναῖκα. Εἶτα μεθίστησιν αὐτήν, καὶ ἀποκαλύπτει τὸ Μαφόριον, καὶ ἐπιλύσιν αὐτὸ πρὸς τὸ μὴ βλέπεσθαι, καὶ οὕτω προσάγουσιν αὐτὴν τῷ Πατριάρχῃ. καὶ λαμβάνει ὁ Πατριάρχης [illegible] ἐκ τῆς Τραπέζης τὸ στέμμα, καὶ ἐπιδίδωσι τῷ Βασιλεῖ. ὁ δὲ στέφει αὐτήν. καὶ τοῦ Διακόνου λέγοντος, **Τὰς κεφαλάς**, λέγει ὁ Πατριάρχης καὶ τὴν δευτέραν εὐχήν.

Εἶτα παραινεῖ αὐτὴν τὰ συμφέροντα. οὕτως ὁ μὲν Πατριάρχης ἀπο- -ωνεῖ, ἡ δὲ κάθηται μετὰ τοῦ Βασιλέως, καὶ προσκυνεῖται ὑπὸ τῆς Συγκλήτου, κατὰ τὸ ἔθος. ὁ δὲ στεφθεὶς ἐν τῷ ἄμβωνι τῆς μεγάλης Ἐκκλησίας κατέρχεται ἐστεμμένος.

## ΕΥΧΗ

### Ἐπὶ [illegible] Καίσαρος Νωβελισσίμου Κουροπαλάτου.

Ὁ Θεὸς ὁ μέγας ὁ αἰώνιος, ὁ βασιλεὺς τῶν βασιλευόντων, καὶ Κύριος τῶν κυριευόντων, ὁ κατ' εἰκόνα τῆς ἐπουρανίου διακοσμήσεως τὴν ἐπίγειον ταύτην πολιτείαν ποιησάμενος, καὶ θέμενος ἐν αὐτῇ ἀρχὰς καὶ ἐξουσίας κατὰ μίμησιν τῶν ἀγγελικῶν σου δυνάμεων, ὁ βασιλέα τὸν ἐπίγειον καταστησάμενος, καὶ τὰς μετ' αὐτὸν δευτέρας ἀρχὰς ἱδρυσάμενος, εἰς ἀλλήλων μὲν ὑπακουείαν καὶ συνέχειαν, κοινὴν δὲ τῶν ἀρχομένων προστασίαν, καὶ λυσιτέλειαν. αὐτὸς Δέσποτα τῶν ἁπάντων, καὶ τὸν δοῦλόν σου (τόνδε,) ὃν ἐκ πάντων ἐξελέξω, καὶ ηὐδόκησας τὴν (τοῦ δεῖνος) ἐνδύσασθαι ἀξίαν, ἔνδυσον αὐτὸν τὴν τοῦ ἐξ ὕψους δύναμιν καὶ ἀσφάλειαν, φρούρησον αὐτὸν ὑπὸ τὴν σκέπην τῶν πτερύγων σου. ἀνεπίφθονον αὐτὸν καὶ ἀνεπηρέαστον τὴν ἀρχὴν ταύτην διατήρησον, εἰρηνικὴν διὰ βίου, καὶ ἀστασίαστον τὴν ζωὴν αὐτῷ χαριζόμενος. ποίησον αὐτὸν τοῖς πολεμίοις φοβερὸν καὶ ἀνυπόστατον, εὐμενῆ τοῖς ὑπὸ χεῖρα καὶ φίλιον, ἄξιον καὶ τῆς ἐπουρανίου βασιλείας. ἵνα διὰ πάντων δοξάζηταί σου τὸ πανάγιον ὄνομα, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. Ἀμήν.

## ΕΥΧΗ

### Ἐπὶ προσαγωγῇ Ἀρχόντων, ἤτοι Πατρικίων.

Αὕτη γίνεται, ἡ ἐν τοῖς Ἀντιμινσίοις τῶν κατερχομένων τῆς μεγάλης

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γάλης Ἐκκλησίας, ἢ ἐν τῷ Σωλαίᾳ, τιθεμένης Τραπέζης, καὶ Ἐνδύτου, καὶ προηγιασμένων.

Τοῦ Διακόνου λέγοντος συναπτήν.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ πάσης ἀρχῆς καὶ δυνάμεως τὴν ἐξουσίαν ἔχων ἐν Οὐρανῷ καὶ ἐπὶ γῆς, ὁ καὶ τὸν δοῦλόν σου (τόνδε) εὐδοκήσας τὴν τῆς πατριαρχικότητος ἰθύνειν ἀρχήν. δώρησαι αὐτῷ τὰ πρὸς σωτηρίαν αἰτήματα, καὶ ἀξίωσον αὐτὸν κρίναι τοὺς ὑπ' αὐτὸν ἐν δικαιοσύνῃ καὶ εὐθύτητι, πρὸς τὸ εὐάρεστόν σοι γενέσθαι ἐν πᾶσιν οἷς διαπράττεται, πᾶσαν ἐργασίαν ἐλεημοσύνης πτωχοῖς καὶ δεομένοις ἐπιδεικνυόμενον, καὶ τοὺς ἐξυπηρετουμένους αὐτῷ ἐν εἰρήνῃ καὶ ὑπακοῇ διάγειν εὐδόκησον. πλήθυνον συνήθως τὰ γεννήματα τῆς γῆς πρὸς εὐθηνίαν παντὸς τοῦ Λαοῦ σου. Ὅτι σοῦ τὸ κράτος, καὶ σοῦ ἐστιν ἡ βασιλεία.

Ὁ Διάκονος. Τὰς κεφαλάς. Ὁ Ἱερεὺς εὔχεται.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ πάσης κτίσεως δημιουργὸς, ἐπάκουσον τῆς δεήσεως ἡμῶν, καὶ χάρισαι τῷ πιστῷ σου δούλῳ (τῷ δε) πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα. ἀξίου αὐτὸν κατὰ τὸ σὸν θέλημα τὴν πιστευθεῖσαν αὐτῷ ἀρχὴν οἰκονομῆσαι, καὶ μέτοχον γενέσθαι τῆς ἐπουρανίου βασιλείας. Σὺ γὰρ εἶ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν.

Εἶτα ἐπαίρει τὸ Ἐπιτραχήλιον ὁ Πατριάρχης κείμενον εἰς τὸ Ἀντιμίνσιον, καὶ δίδωσι τῷ τῆς καταστάσεως, καὶ βάλλει ἐνδύσας αὐτὸ τῷ Πατρικίῳ. καὶ οὕτω προσκυνεῖ, καὶ ἀσπάζεται τὸν Πατριάρχην, καὶ κοινωνεῖ, καὶ ἀποχωρεῖ.

# ΕΥΧΗ

Γινομένη ὁσάκις ἔλθῃ ὁ Πατριάρχης εἰς τὸν Βασιλέα.
Ἐξαιρέτως δὲ, τῇ πέμπτῃ τῆς διακαινησίμου.

Μετὰ τὸν ἀσπασμόν. λέγοντος τοῦ Ῥαιφερενδαρίου συναπτήν.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ Βασιλεὺς τῶν βασιλευόντων, καὶ Κύριος τῶν κυριευόντων, σοῦ δεόμεθα, καὶ σὲ παρακαλοῦμεν, σῶσον τοὺς Βασιλεῖς ἡμῶν οὓς ἐδικαίωσας βασιλεύειν ἐπὶ τῆς Γῆς. φύλαξον αὐτοὺς ὑπὸ τὴν σκέπην τῆς σῆς ἀγαθότητος. ὑπόταξον αὐτοῖς πάντα τὰ βάρβαρα καὶ πολέμια Ἔθνη. χάρισαι αὐτοῖς εἰρηνικὸν τὸ βασί-

λειον,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λεον, καὶ τὰ εὐάρεστά σοι πράττειν διὰ παντὸς αὐτοὺς καταξίωσον. τοὺς ἄρχοντας αὐτοῦ ἐν ὑπακοῇ καὶ φόβῳ ἀπροσδοκήτως φύλαξον. τὸν στρατὸν ἐν παντὶ ἔθνει πολεμίῳ ἐνίσχυσον. τὸν δῆμον ἐν εὐφροσύνῃ καὶ εἰρήνῃ διάγειν εὐδόκησον, πᾶσαν ἀφθονίαν τῶν ἀπὸ τῶν ἀγαθῶν ἐπὶ τὴν βασιλείαν αὐτῶν δωρούμενος. Ὅτι ηὐλόγηται τὸ πανάγιόν σου ὄνομα, τοῦ Πατρός.

Ὁ Πατριάρχης. Εἰρήνη πᾶσι. Ὁ Διάκονος. Τὰς κεφαλάς.

Ὁ Ἱερεύς.

Σοὶ τῷ μόνῳ φιλανθρώπῳ κριτῇ, ὁ ὑπὸ σοῦ πιστευθεὶς τὴν ἐπὶ τῆς γῆς βασιλείαν ὑπέκλινε σὺν ἡμῖν τὸν αὐχένα, καὶ δεόμεθά σου Δέσποτα τῶν ἁπάντων τὴν σὴν εἰρήνην δώρησαι ταῖς πάντων ἡμῶν καρδίαις, καὶ πάντα πρὸς σωτηρίαν αἰτήματα τῷ ὑπὸ σὲ Βασιλεῖ, καὶ καταψύξον αὐτὸν τὰ τῆς σῆς φιλανθρωπίας ἐπιδείκνυσθαι πᾶσι τοῖς ὑπηκόοις. Σὺ γὰρ εἶ ὁ Βασιλεὺς τῆς Εἰρήνης, καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν.

# ΕΥ'ΧΗ'

## Ἄλλη ἐπὶ Βασιλέως.

Δέσποτα Κύριε παντοκράτορ, ὁ Πατὴρ τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, σοῦ δεόμεθα καὶ σὲ παρακαλοῦμεν, τοὺς δούλους σου τοὺς πιστοτάτους ἡμῶν Βασιλεῖς ἐν εἰρήνῃ, καὶ δικαιοσύνῃ, καὶ ἀνδρείᾳ διαφύλαξον. ὑπόταξον αὐτοῖς πάντα τὰ βάρβαρα ἔθνη, τὰ τοὺς πολέμους θέλοντα. πρόσθες αὐτοῖς πίστιν καὶ εὐλάβειαν. ἀσφάλισαι αὐτοὺς τῷ φόβῳ σου. δὸς αὐτοῖς εἰρήνην, καὶ φρονεῖν πρὸς ἡμᾶς, καὶ πρὸς τὸ ἅγιον ὄνομά σου. λάλησον εἰς τὴν καρδίαν αὐτῶν ἀγαθὰ ὑπὲρ τῆς Ἐκκλησίας σου, καὶ ἅπαντος τοῦ Λαοῦ σου. ἵνα ἐν τῇ γαλήνῃ αὐτῶν ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι. Εἴη τὸ κράτος τῆς βασιλείας σου εὐλογημένον.

Καὶ τοῦ Διακόνου λέγοντος. Τὰς κεφαλάς.

Ἐπεύχεται ὁ Ἱερεὺς [illegible]

Ὁ Θεὸς τῶν δυνάμεων, καὶ Βασιλεὺς τῶν αἰώνων, κλῖνον τὸ οὖς σου εἰς τὴν δέησιν ἡμῶν, καὶ τὴν σὴν εἰρήνην δώρησαι τοῖς Βασιλεῦσιν ἡμῶν, καὶ παντὶ τῷ Λαῷ σου. ἵνα κατὰ τὸ ὄνομά σου πολιτευόμενοι,

τύχω-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τύχωσι τῶν αἰωνίων σου ἀγαθῶν. πρεσβείαις τῆς ἁγίας Θεοτόκου, καὶ πάντων τῶν ἁγίων. Σὺ γὰρ εἶ ὁ Θεὸς, ὁ Σωτὴρ ἡμῶν, καὶ διαμένει σου ἡ βασιλεία, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ.

## ΕΥΧΗ

### Ἐπὶ χειροτονίᾳ Διακονίσσης.

Μετὰ τὸ γενέσθαι τὴν ἁγίαν ἀναφορὰν, καὶ ἀνοιγῆναι τὰς θύρας, πρὶν εἰπεῖν τὸν Διάκονον. **Πάντων τῶν ἁγίων. Προσφέρεται** ἡ μέλλουσα χειροτονεῖσθαι τῷ Ἀρχιερεῖ. καὶ ἐκφωνῶν τὸ, Ἡ θεία χάρις. Κλινούσης αὐτῆς τὴν κεφαλὴν, ἐπιτίθησι τὴν χεῖρα αὐτοῦ ἐπὶ τὴν κεφαλὴν αὐτῆς. καὶ ποιῶν σταυροὺς τρεῖς, ἐπεύχεται ταῦτα.

Ὁ Θεὸς ὁ ἅγιος ὁ παντοδύναμος, ὁ διὰ τῆς ἐκ Παρθένου κατὰ σάρκα γεννήσεως τοῦ μονογενοῦς σου Υἱοῦ, καὶ Θεοῦ ἡμῶν ἁγιάσας τὸ θῆλυ, καὶ οὐκ ἀνδράσι μόνον, ἀλλὰ καὶ ταῖς γυναιξὶ δωρησάμενος τὴν χάριν, καὶ τὴν ἐπιφοίτησιν τοῦ ἁγίου Πνεύματος. αὐτὸς καὶ νῦν Δέσποτα, ἔπιδε ἐπὶ τὴν δούλην σου ταύτην, καὶ προσκάλεσαι αὐτὴν εἰς τὸ ἔργον τῆς διακονίας σου, καὶ κατάπεμψον αὐτῇ τὴν πλουσίαν δωρεὰν τοῦ ἁγίου Πνεύματος· διαφύλαξον αὐτὴν ἐν τῇ ὀρθοδόξῳ σου πίστει ἐν ἀμέμπτῳ πολιτείᾳ κατὰ τὸ σοὶ εὐάρεστον, τὴν ἑαυτῆς λειτουργίαν διαπαντὸς ἐκπληροῦσαν. Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι. νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ μετὰ τὸ, Ἀμήν. Ποιεῖ εἷς τῶν Διακόνων εὐχὴν οὕτως.

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καὶ εὐσταθείας τοῦ σύμπαντος κόσμου, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (τοῦ δεῖνος) ἱερωσύνης, ἀντιλήψεως, διαμονῆς, εἰρήνης, ὑγείας, σωτηρίας αὐτοῦ, *καὶ* τοῦ ἔργου τῶν χειρῶν αὐτοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς νῦν προχειριζομένης Διακονίσσης, καὶ τῆς σωτηρίας αὐτῆς, τοῦ Κυρίου δεηθῶμεν.

Ὅπως ὁ φιλάνθρωπος Θεὸς, ἄσπιλον καὶ ἀμώμητον αὐτῇ τὴν διακονίαν χαρίσηται, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ὑπὲρ τοῦ εὐσεβεστάτου, καὶ θεοφιλεστάτου Βασιλέως ἡμῶν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς.

Ἀντιλαβοῦ, σῶσον.

Καὶ ἐν τῷ γίνεσθαι ταύτην τὴν εὐχὴν ὑπὸ τοῦ Διακόνου, ἔχων ὁμοίως τὴν χεῖρα ἐπὶ τὴν κεφαλὴν τῆς χειροτονουμένης ὁ Ἐπίσκοπος, ἐπεύχεται οὕτως.

Δέσποτα Κύριε, ὁ μηδὲ γυναῖκας ἀναθεμένας ἑαυτὰς, καὶ βουλῇ θείᾳ καθὸ προσῆκε λειτουργεῖν τοῖς ἁγίοις Οἴκοις σου ἀποβαλλόμενος, ἀλλὰ ταύτας ἐν τάξει λειτουργῶν προσδεξάμενος· δώρησαι τὴν χάριν τοῦ ἁγίου σου Πνεύματος, καὶ τῇ δούλῃ σου ταύτῃ βουληθείσῃ ἀναθεῖναι σοι ἑαυτὴν, καὶ τὴν τῆς διακονίας ἀποπληρῶσαι χάριν, ὡς ἔδωκας χάριν τῆς διακονίας σου Φοίβῃ, ἣν ἐκάλεσας εἰς ἔργον τῆς λειτουργίας. παράσχου δὲ αὐτῇ ὁ Θεὸς ἀκατακρίτως προσκαρτερεῖν τοῖς ἁγίοις Ναοῖς σου, ἐπιμελεῖσθαι τῆς οἰκείας πολιτείας, σωφροσύνης δὲ μάλιστα, καὶ τελείαν ἀπόδειξον δούλην σου. ἵνα καὶ αὐτὴ παρεστῶσα τῷ βήματι τοῦ Χριστοῦ, ἄξιον τῆς ἀγαθῆς πολιτείας ἀπολήψηται τὸν μισθόν.

Ἐλέει, καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ. καὶ τὰ ἑξῆς.

Καὶ μετὰ τὸ, Ἀμήν. ἐπιτίθησι τῷ τραχήλῳ αὐτῆς ὑποκάτωθεν τοῦ Μαφορίου τὸ διακονικὸν Ὠράριον, φέρων ἔμπροσθεν τὰς δύο ἀρχὰς, καὶ τότε ὁ ἐν τῷ ἄμβωνι ἑστὼς Διάκονος λέγει.

**Πάντων τῶν ἁγίων μνημονεύσαντες.** καὶ τὰ λοιπά.

Μετὰ δὲ τὸ μεταλαβεῖν αὐτὴν τοῦ ἁγίου Σώματος, καὶ τοῦ ἁγίου Αἵματος ἐπιδίδωσιν αὐτῇ ὁ Ἀρχιεπίσκοπος τὸ ἅγιον ποτήριον, ὅπερ δεξαμένη ἀποτίθεται ἐν τῇ ἁγίᾳ Τραπέζῃ.

*Ἰστέον ὅτι αὕτη ἡ τῆς Διακονίσσης ἀκολουθία προσεγράφη ἐνταῦθα χάριν τῶν φιλομαθῶν. ὅτι γὰρ κατὰ τοὺς ἱεροὺς κανόνας αἱ γυναῖκες τὸ τοιοῦτον ἐδέχοντο χάρισμα, δῆλον παρά τε ἄλλοις πολλοῖς, κἂν ταῖς Ἀποστολικαῖς διαταγαῖς βιβλίῳ ς'. Κεφ. ζ'. Διακόνισσα δὲ γινέσθω παρθένος ἁγνή. εἰ δὲ μήγε, κἂν χήρα μονόγαμος, πιστὴ καὶ τιμία. τοῦτ' αὐτὸ δηλοῖ καὶ ἡ ἐν Τρούλλῳ Σύνοδος Καν. ς'. ἐν τῷ θείῳ Ἀποστόλῳ γέγραπται ἑξήκοντα ἐτῶν τὴν ἐν τῇ Ἐκκλησίᾳ καταλέγεσθαι χήραν. οἱ δὲ ἱεροὶ κανόνες τεσσαράκοντα ἐτῶν τὴν Διακόνισσαν χειροτονεῖσθαι παραδεδώκασι, τὴν Ἐκκλησίαν χάριτι θείᾳ κραταιοτέραν γενομένην, καὶ ἐπὶ τὰ πρόσω βαίνουσαν ἑωρακότες, καὶ τὸ τῶν πιστῶν πρὸς τὴν τῶν θείων ἐντολῶν τήρησιν πάγιόν τε καὶ ἀσφαλές. ἵνα δὲ τῆς τοῦ ἔθους τούτου ἀναιρέσεως τὸν χρόνον, ἅμα δὲ καὶ τὴν αἰτίαν καταμάθῃς, ἀνάγνωθι τὸν Βαλσαμῶνα σαφῶς περὶ τῆς ὑποθέσεως ταύτης διαλαμβάνοντα.*



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

## ΕΚ ΤΩΝ ΤΟΥ ΜΑΤΘΑΙΟΥ ΒΛΑΣΤΑΡΗ

### Περὶ χειροτονίας Διακονίσσης.

Τελεῖσθαι δὲ ἐπὶ τῇ Διακονίσσῃ πλὴν ὀλίγων, ὅσα ἐπὶ τοῖς Διακόνοις. τῇ γὰρ ἱερᾷ Τραπέζῃ προσαγομένην Μαφορίῳ καλύπτεσθαι χρή, τῶν ἄκρων τούτου ἔμπροσθεν ἀπῃωρημένων. καὶ μετὰ τὸ ῥηθῆναι. **Ἡ θεία χάρις, ἡ τὰ ἀσθενῆ θεραπεύουσα,** οὐδ' ἕτερον τῶν ποδῶν εἰς γόνυ κλίνειν, ἀλλὰ μόνην τὴν κεφαλήν. καὶ ἐπιτιθέντα ταύτῃ τὸν Ἀρχιερέα τὴν χεῖρα ἐπεύχεσθαι ἀμέμπτως αὐτὴν τὸ τῆς διακονίας ἔργον ἐπιτελέσαι, σωφροσύνην καὶ σεμνὴν πολιτείαν μετερχομένην, καὶ τοῖς ἁγίοις οὕτω Ναοῖς προσκαρτερεῖν, οὐ μὴν καὶ τοῖς ἀχράντοις Μυστηρίοις ὑπηρετεῖν ἐπιτρέπει, ἢ Ῥιπίδιον ἐγχειρίζεσθαι, ὡς ἐπὶ τοῦ Διακόνου. εἶτα τῷ τραχήλῳ ταύτης ὑπὸ τὸ Μαφόριον ἐπιτιθέναι τὸν Ἀρχιερέα τὸ διακονικὸν Ὠράριον, φέροντα εἰς τὰ ἔμπροσθεν τὰς τούτου ἀρχάς.

Ἐν δὲ τῷ καιρῷ τῆς μεταλήψεως μετὰ τοὺς Διακόνους τῶν θείων κοινωνεῖ αὐτὴν μυστηρίων. εἶτα λαμβάνουσαν τὸ ποτήριον ἐκ τῆς χειρὸς τοῦ Ἀρχιερέως μηδενὶ μεταδιδόναι, ἀλλ' εὐθὺς ἐπιτιθέναι τοῦτο τῇ ἁγίᾳ Τραπέζῃ.

## Τ Α Ξ Ι Σ

### Ἐπὶ προχειρίσει ψάλτου.

Ἔρχεται ὁ (1) Διάκων ἐν τῷ Διακονικῷ.

- Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.
- Ὑπὲρ τοῦ δούλου τοῦ Θεοῦ, τοῦ δεῖνος, τοῦ προχειριζομένου, καὶ τῆς παρὰ τοῦ Θεοῦ ὑγείας καὶ σωτηρίας. τοῦ Κυρίου δεηθῶμεν.
- Ὑπὲρ τοῦ δωρηθῆναι αὐτῷ ἀντὶ τῶν τριχῶν κεφαλῆς, λογισμὸν δικαιοσύνης, καὶ πολιτείαν ἀρετῶν. τοῦ Κυρίου δεηθῶμεν.
- Ὑπὲρ τοῦ Ἐπισκόπου τοῦ (δεῖνος,) καὶ τοῦ ἔργου τῶν χειρῶν αὐτοῦ, τοῦ Κυρίου δεηθῶμεν.
- Ὑπὲρ τοῦ ῥυσθῆναι. Ἀντιλαβοῦ. Τῆς Παναγίας.

Εἶτα λέγει ὁ Ἀρχιερεὺς τὴν Εὐχὴν ταύτην.

Δέσποτα Κύριε ὁ παντοκράτωρ, ὁ Πατὴρ τοῦ Κυρίου καὶ Θεοῦ, καὶ σω-

τῆρος

(1) *Διάκονος.*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, δεόμεθά σου, καὶ παρακαλοῦμεν, φιλάνθρωπε, ὁ δοῦλός σου (ὅδε) πρὸς τὴν ἁγίαν σου Ἐκκλησίαν κατέφυγε, φώτισον αὐτὸν, τὴν γλυκύτητα ψάλλειν σοι, τὰ ᾄσματα τὰ πνευματικὰ ἐνάρχεσθαι, τῆς μονῆς καὶ ὁσίας σου δουλείας ἀξίωσον. ἁγίασον τῷ σῷ φόβῳ, φρούρησον τῇ σῇ χάριτι. ἵνα κατὰ τὸ ἀρεστόν σου ζήσας, καὶ ἐπὶ τὰς μείζους δωρεὰς τοῦ ἁγίου σου Πνεύματος κληθείη. Χάριτι καὶ οἰκτιρμοῖς, καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ. καὶ τὰ ἑξῆς.

Εἶτα κείρεται τὴν κόμην, καὶ λέγει ὁ Ἀρχιερεύς.

Κείρεται ὁ δοῦλος τοῦ Θεοῦ, (ὅ) εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. νῦν καὶ ἀεί.

Εἶτα λέγει ὁ Ψάλτης. ψαλμὸς τῷ Δαβίδ. Καὶ ἐπιθεὶς τὴν χεῖρα ὁ Ἀρχιερεὺς, λέγει. Εἰρήνη πᾶσι. ὁ (1) Διάκων. Τοῦ Κυρίου δεηθῶμεν.

Δέσποτα Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν. σοῦ δεόμεθα, καὶ σὲ παρακαλοῦμεν, ἐπίβλεψον ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὸν παρόντα δοῦλόν σου. καὶ εὐλόγησον αὐτὸν εὐλόγησιν πνευματικήν. ἣν ηὐλόγησας τὸν ἱερέα σου Μελχισεδὲκ κειρόμενον τῶν τριχῶν αὐτοῦ κατὰ τὴν σὴν ἐντολὴν, διὰ τοῦ δούλου σου Ἀβραάμ. καὶ δὸς αὐτῷ φυλάσσειν τὰς ἐντολάς σου, αἰδοῖ, καὶ φόβῳ δουλεύοντά σοι, ἐν σπουδῇ καὶ εὐλαβείᾳ, ἐν ὁσιότητι καὶ δικαιοσύνῃ. πλήρωσον αὐτοῦ πάσης ἐκκλησιαστικῆς καταστάσεως τὴν ὑπηρεσίαν. ἵνα εὐάρεστός σοι πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ διαμείνῃ. Χάριτι, καὶ οἰκτιρμοῖς, καὶ τὰ ἑξῆς.

Εἶθ' οὕτως εὐλογεῖ αὐτὸν, καὶ ἀπολύει.

## ΑΚΟΛΟΥΘΙΑ
### Εἰς ἀναγνώστην.

Προσφέρει ὁ Ἀρχιδιάκων τὸν μέλλοντα χειροτονεῖσθαι. καὶ κλίναντος ἔμπροσθεν τοῦ Ἀρχιερέως τὸ γόνυ, λέγει. Κύριε εὐλόγησον. Καὶ λέγει ὁ Ἐπίσκοπος.

Ὁ Κύριος εὐλογήσαι σε εἰς ἀναγνώστην τῆς ἁγιωτάτης Ἐκκλησίας τῆς (δεῖνος) ἐν ὀνόματι τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. νῦν, καὶ ἀεί.

Καὶ κείρεται παρ' αὐτοῦ σταυροειδῶς λέγοντος οὕτως. Εἰς τὸ ὄνομα τοῦ



(1) Διάκονος.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. νῦν καὶ ἀεί.
Εἶτα τέλειον ὑπότιμος εἰς Κληρικοῦ κείρεται σχῆμα. καὶ οὕτω πάλιν τῷ Ἀρχιερεῖ προσάγεται. καὶ αὐτὸς λαμβάνων Φελώνιον, ἐνδιδύσκει αὐτόν. καὶ τίθησιν ὁ Ἐπίσκοπος τὸ Ὠμοφόριον ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. καὶ εὔχεται οὕτως.

Εἰρήνη πᾶσι. Τοῦ Κυρίου δεηθῶμεν.

Εὐλογητὸς εἶ Κύριε τῶν πατέρων ἡμῶν, ὁ ἀποστείλας τὸν Ἀβραὰμ τὸν πατέρα ἡμῶν κεῖραι τὴν Κόμην τοῦ σοῦ Ἱερέως Μελχισεδὲκ, ὁ παραγενόμενος ἐπὶ τῇ τῶν σῶν ἀποστόλων εὐλογίᾳ καὶ κουρᾷ, καὶ δωρησάμενος αὐτοῖς ἀμώμητον τὴν πίστιν ἐν παντὶ ἔργῳ. αὐτὸς καὶ τὸν δοῦλόν σου, (τὸν δεῖνα) παράσχου ἀντὶ τῆς κουρᾶς τῶν δικαίων, τὸν ἐν τῇ κεφαλῇ λογισμὸν δικαιοσύνης, καὶ πολιτείαν ἐνάρετον ἔχειν. ἵνα κατὰ τὰς ἐντολάς σου πολιτευσάμενος, ἀξιωθῇ τῆς ἐκ δεξιῶν σου στάσεως. τὸν δὲ τῆς εἰς σὲ πίστεως ταύτης τὰς ῥίζας δεχόμενον, δώρησαι εὐλογίαν τοῦ δικαίου Συμεὼν, τοῦ ἐν ἀγκάλαις αὐτοῦ δεξαμένου σε, καὶ πάντας τοὺς συνελθόντας εὐλόγησον εὐλογίαν πνευματικήν. Ἐκφώνησις.

Ὅτι σὺ εἶ ὁ εὐλογῶν καὶ ἁγιάζων τὰ πάντα, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν.

Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ἔκλεξαι τὸν δοῦλόν σου τοῦτον, καὶ ἁγίασον αὐτόν. καὶ δὸς αὐτῷ μετὰ πάσης σοφίας καὶ συνέσεως, τῶν θείων σου λογίων τὴν μελέτην καὶ τὴν ἀνάγνωσιν ποιεῖσθαι, διαφυλάττων αὐτὸν, ἐν ἀμέμπτῳ πολιτείᾳ. Ἐλέει καὶ οἰκτιρμοῖς, καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ. μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι. νῦν καὶ ἀεί. καὶ τὰ ἑξῆς.

Καὶ ἐπιδίδει αὐτῷ τὸν Ἀπόστολον, καὶ ἀναγινώσκει οὕτως.

Πρὸς Ῥωμαίους Ἐπιστολῆς Παύλου ἀνάγνωσμα.

Παῦλος ὁ δοῦλος τοῦ Θεοῦ, καὶ τὰ ἑξῆς.

Εἶτα λαβὼν ὁ χειροτονηθεὶς χερνιβόξεστον, καὶ μανδύλιον ἐπιδίδει τῷ Ἀρχιερεῖ νίψασθαι, καὶ λέγει τρίς. Ὅσοι πιστοί.

Ὁ δὲ Ἀρχιερεὺς παραινεῖ αὐτὸν οὕτως.

Τέκνον ὁ πρῶτος βαθμὸς τῆς ἱερωσύνης, ὁ τοῦ ἀναγνώστου τυγχάνει. προσήκει οὖν σε καθ' ἑκάστην ἡμέραν τὰς θείας γραφὰς μεταχειριζόμενον, καὶ τὰς προόδους ποιεῖσθαι, ἵνα οἱ ἀκροώμενοι θεωροῦντές σε, οἰκοδομὴν δέξωνται, καὶ σεαυτῷ μείζονα βαθμὸν περιποιήσῃς,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σης, μηδαμῶς καταισχύνων τὴν ἐπὶ σοὶ ψῆφον. σωφρόνως γὰρ καὶ ὁσίως, καὶ δικαίως πολιτευόμενος, καὶ τὸν φιλάνθρωπον Θεὸν ἵλεων ἕξεις, καὶ τῆς μείζονος ἀξιωθήσῃ λειτουργίας. ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα λέγει ὁ Ἀρχιερεὺς οὕτως.

Εὐλογητὸς Κύριος, ἰδοὺ γέγονεν ὁ δοῦλος τοῦ Θεοῦ (ὁ δ.) ἀναγνώστης τῆς ἁγιωτάτης Ἐκκλησίας (τῆς δεῖνος) εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τὰ ἑξῆς.

Καὶ λέγει ὁ Λαὸς, τρίς. Ἄξιος. καὶ πολυχρονᾶται ὁ Ἀρχιερεύς.

## ΕΥΧΗ

### Ἐπὶ χειροτονίᾳ Δεποτάτου, καὶ Κηροφόρου.

Ὁ Πᾶσαν κτίσιν τῇ αἴγλῃ λαμπρύνας τῶν θαυμασίων σου Κύριε, ὁ πρὶν γενέσθαι τὰς ἑκάστου προθέσεις παραμετρῶν, καὶ τοὺς ἐξυπηρετῆσθαί σοι βουλομένους ἐνισχύων. αὐτὸς καὶ τὸν δοῦλόν σου τόνδε προτρέχειν λαμπαδηφόρον τῶν ἁγίων σου Μυστηρίων αἱρετισάμενον, κατακόσμησον ταῖς ἀμολύντοις σου, καὶ ἀχράντοις στολαῖς. ἵνα λελαμπρυσμένος, καὶ ἐν τῷ μέλλοντι ἀπαντήσας αἰῶνι, δέξηται τὸν τῆς ζωῆς ἀκήρατον στέφανον, σὺν τοῖς ἐκλεκτοῖς σου εὐφραινόμενος ἐν ἀϊδίῳ μακαριότητι. Ὅτι ἡγίασταί σου τὸ ὄνομα, δεδόξασταί σου ἡ βασιλεία τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΑΚΟΛΟΥΘΙΑ

### Τοῦ Σταυροπηγίου.

Ποιοῦσι Σταυρὸν ξύλινον, καὶ βάλλουσιν αὐτὸν ἐν τῷ μέσῳ τῆς κόγχης, ὁ δὲ Ἀρχιερεὺς λέγει τὴν εὐχὴν τοῦ Σταυροπηγίου ταύτην.

Εἰρήνη πᾶσι. Τοῦ Κυρίου δεηθῶμεν.

Προσκυνοῦμέν σε Ἰησοῦ Χριστὲ, ὁ τοῦ Σταυροῦ τῇ δυνάμει τὸν κόσμον καταφωτίσας, καὶ τοὺς ἐν αὐτῷ πεπλανημένους διὰ τῆς δυνάμεως τοῦ Σταυροῦ σου ἐπιστρέψας, καὶ ἐξαγοράσας ἡμᾶς τῆς δουλείας τοῦ ὄφεως, ἧς κατεδούλωσε τὸν ἀρχέπλαστον ὁ μισόκαλος, καὶ μισόθεος

ἐχ-

ἐχθρός. διὰ τοῦτο καὶ τῷ σῷ θελήματι σάρκα φορέσας, ἐκ τῆς Παρθένου τεχθεὶς, καὶ Σταυρὸν ὑπομείνας, καὶ πάντα τὰ Ἔθνη ἀνακαλεσάμενος εἰς τὴν ἁγίαν σου Ἐκκλησίαν. ὁ διὰ Σταυροῦ τὰς πύλας τοῦ ᾅδου ἀνοίξας, καὶ τὸν ἐχθρὸν θανατώσας, ὁ διὰ τοῦ Λουτροῦ παλιγγενεσίας πάντας ἡμᾶς ἀνακαινίσας τῇ δυνάμει τοῦ Σταυροῦ σου. διὸ καὶ τοῦτον εἰς τὸ ὄνομά σου πηχθέντα Σταυρὸν εὐλόγησον, ἁγίασον, ὡς ἐπὶ τοῦ φοβεροῦ σου πάθους, καὶ ὡς εἶπεν ὁ προφήτης, ὅτι ἡγίασται ξύλον δι' οὗ γέγονε σωτηρία τῷ κόσμῳ, καὶ βοήθεια τοῦ γένους τῶν ἀνθρώπων, καὶ πάντας τοὺς προστρέχοντας τῷ τύπῳ τοῦ Σταυροῦ σου ὡς καρποὺς τελεσιουργήσας, φονοκτόνων δαιμόνων ἐφόδους ἀπόστρεψον, χηρῶν καὶ ὀρφανῶν βοηθὸς γενέσθαι εὐδόκησον· ὁ Θεὸς καὶ Πατὴρ, καὶ φωστὴρ ἀδιάδοχος, ὁλοκλήρους εἰς τὴν ἁγίαν σου Ἐκκλησίαν, καὶ εἰς τὴν δευτέραν σου παρουσίαν ἀνάδειξον αὐτοὺς, Δυνάμει τοῦ τιμίου σου Σταυροῦ.

Ὅτι σοὶ τῷ Θεῷ ἡμῶν πρέπει δόξα, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας.

Εἶτα γράφει οὕτως ἐπὶ τὸν ξύλινον Σταυρόν.

Σταυροπήγιον γενόμενον τῇ χάριτι τοῦ παναγίου Πνεύματος, παρὰ τοῦ ταπεινοῦ ἐπισκόπου Ἀμαθοῦντος, καὶ ῥωμαίων πόλεως Νεμεσοῦ, καὶ ἐπιτεθὲν ἐν τῷ πανσέπτῳ Ναῷ, τῷ δεῖνι, τοῦ δεῖνος χωρίου, ἐπὶ τῆς βασιλείας τοῦ εὐσεβεστάτου κυρίου τοῦ δεῖνος Παλαιολόγου, ἐν μηνὶ τῷ δεῖνι, τῆς ἐρχομένης, καὶ ἰνδικτιῶνος τόσης.



## ΕΥΧΗ

Λεγομένη εἰς θεμέλιον Ἐκκλησίας, ὅπερ καὶ Σταυροπήγιον τινὲς ὠνόμασαν.

Ἔρχεται ὁ Ἀρχιερεὺς ἐν τῷ τόπῳ ἐν ᾧ μέλλει κτίζεσθαι ὁ ἅγιος Ναὸς καὶ φορέμει φελώνιον, ἢ καὶ πολλάκις ἐπιτραχήλιον. ἄρχεται Εὐλογητόν. Τρισάγιον. καὶ τὸ ἀπολυτίκιον τοῦ ἁγίου ἐν ᾧ κτίζεται ὁ Ναός. εἶτα λέγει. Εἰρήνη πᾶσι. Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ὁραθεὶς καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ. ὅρα ἐπὶ θεμελίῳ ἐκκλησίας. φυλ. 247.

Εἶτα λαμβάνει ὁ Ἱερεὺς τρεῖς λίθους ῥίπτων ἐν τῷ θεμελίῳ. εἰς ὄ-

νομα

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νομα Πατρὸς, καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματος. Ὁ δὲ Μαΐστωρ ἄρχεται κτίζειν. Εἶτα πάλιν ὁ Ἀρχιερεὺς λέγων τὴν εὐχὴν ταύτην.

Ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ὁ καταξιώσας ὑπὸ τὴν σκηνὴν Ζακχαίου εἰσελθεῖν, καὶ σωτηρία αὐτῷ τε καὶ παντὶ τῷ οἴκῳ αὐτοῦ γενόμενος κατὰ τὴν σὴν ἄχραντον καὶ ἀθάνατον φωνὴν τὴν ὑπὸ τῶν Εὐαγγελιστῶν τῇ Οἰκουμένῃ ἀληθῶς κηρυχθεῖσαν. αὐτὸς καὶ νῦν τὸν παρόντα ἁγιαζόμενον Οἶκον παρ' ἡμῶν τῶν ταπεινῶν καὶ ἁμαρτωλῶν, τὰς δεήσεις προσαγόντων εὐλόγησον. εὐλαβῆ καὶ ἄσινῆ αὐτὸν ποίησον διὰ τῶν σῶν ἀφθόνων δωρεῶν. Ὅπως καὶ ἐν αὐτῷ δοξάζηται τὸ παναγιον ὄνομα τοῦ Πατρὸς, καὶ τὰ ἑξῆς.

Καὶ γίνεται παρὰ τοῦ πρώτου Ἱερέως ἀπόλυσις, ἢ καὶ ἐνὸς τῶν Κληρικῶν. εἶτα λαμβάνων ὁ Ἀρχιερεὺς Σταυρὸν ξύλινον, ἐγχαράττων μέσον Σταυρὸν, καὶ εἰς τῶν Κληρικῶν ἀποστρέφει αὐτόν.

Καὶ λαμβάνει αὐτὸν ὁ Ἀρχιερεὺς οἰκειόχειρος. πήγνυσι δὲ αὐτὸν μέσον τοῦ κτιζομένου Ναοῦ. καὶ γίνεται ἀπόλυσις, καὶ ἀπέρχονται. ὁ δὲ Ναὸς ἄρχεται κτίζεσθαι καθ' ἑκάστην ἕως τέλους.

## ΕΥΧΗ

Ἑτέρα εἰς Θεμέλιον Ἐκκλησίας.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὸ σὸν ἅγιον Αἷμα ὑποβαλλόμενος θεμέλιον τῇ ἁγίᾳ σου Ἐκκλησίᾳ, δεόμεθά σου καὶ νῦν διὰ τῆς τεταπεινωμένης ἡμῶν δεήσεως ὑποβάλλειν τὴν χάριν τοῦ ἁγίου σου Πνεύματος τοῖς θεμελίοις τοῦ μέλλοντος ἀνοικοδομῆσθαι σοι ἐν τούτῳ τῷ τόπῳ Ναοῦ. καὶ ἀπαρτίσαι καὶ τελειῶσαι, καὶ σκήνωμα τοῦτον δεῖξαι τῆς δόξης σου. ὅπως οἱ ἐν αὐτῷ ψαλμοῖς καὶ ᾠδαῖς τὴν σὴν δοξολογοῦντες μεγαλωσύνην, ἀντιλαμβάνωνται τῆς παρὰ σου χορηγείας τῶν ἀγαθῶν, τοῦ τὸν Οὐρανὸν καὶ τὴν Γῆν πληροῦντος. ἄμειψαι δὲ καὶ τοὺς τὰ σὰ ἐκ τῶν σῶν σοι προσκομίζοντας ἔν τε τῇ οἰκοδομῇ αὐτοῦ, καὶ τῇ λοιπῇ λατρείᾳ τῆς δόξης σου, καὶ τοὺς ἐν αὐτῷ ὑπηρετοῦντας τῇ ἐκπληρώσει τῶν κατὰ ψυχὴν καὶ σῶμα συμφερόντων αὐτῶν, καὶ ἐν τῷ παρόντι ἀβλαβεῖς διατήρησον, καὶ ἐν τῷ μέλλοντι τῆς σῆς καταξίωσον ἀπολαύσεως. Ἵνα δοξάζηταί σου τὸ πανάγιον ὄνομα τοῦ Πατρός.

ἈΚΟ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ἈΚΟΛΟΥΘΙΑ

## Ἐπὶ λύσεως Ναοῦ ὑπὸ αἱρετικῶν μιανθέντος.

Εὐχὴ λεγομένη ἔξω πυλῶνος τῆς Ἐκκλησίας.

Κύριε ὁ Θεὸς ἡμῶν, δυσωποῦμέν σε τὸν ἵλεων καὶ ἀμνησίκακον ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν, καὶ τὴν Ἐκκλησίαν διὰ τῶν ἁγίων σου Ἀποστόλων παραστήσαντα καθαρὰν καὶ ἄμωμον, μὴ ἔχουσαν σπίλον, ἢ ῥυτίδα, πρὸς τὸ πάντας τοὺς μετερχομένους μεταλαμβάνειν τοῦ ταύτης ἁγιασμοῦ, καὶ εὐπροσδέκτους τὰς θυσίας ἡμῶν, καὶ τὰς δεήσεις γενέσθαι ἐν τοῖς καθιδρυμένοις ἐν αὐτῇ Ναοῖς. καὶ νῦν εἰσάκουσόν μου τοῦ ἁμαρτωλοῦ καὶ ἀχρείου δούλου σου, καὶ τὴν ἐξ αἱρετικῆς ἐγχειρήσεως ἐπιτριβεῖσαν αὐτῇ, καὶ τῷ ἁγίῳ αὐτῆς θυσιαστηρίῳ μώμησιν περίελε τῇ χάριτι τοῦ μονογενοῦς σου Υἱοῦ, καὶ τοῦ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. δι᾿ ἧς παντὸς ῥύπου ἐλυτρώθη τὸ ἀνθρώπινον γένος, καὶ καθηγιάσθη τῇ αὐτοῦ πρὸς ἡμᾶς κενώσει. δι᾿ ἧς καὶ υἱοθεσίας ἠξιώμεθα, διὰ τῆς τοῦ λουτροῦ παλιγγενεσίας, καὶ τῆς ἐπιφοιτήσεως τοῦ ἁγίου Πνεύματος.

Ἐκφώνως.

Σὺ γὰρ εἶ ὁ ἁγιασμὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν.

Λέγει καὶ τὴν εὐχὴν ταύτην ἐπάνω, καὶ ἔμπροσθεν τῆς ἁγίας Τραπέζης

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, δυσωποῦμέν σε τὸν ἵλεων. καὶ τὰ ἑξῆς. ὅρα φυλ. 290.

## ΕΥΧΗ

Λεγομένη ὑπὸ Ἀρχιερέως ἐπάνωθεν τῆς ἁγίας Τραπέζης, ἐν ᾗ ἐλειτούργησαν αἱρετικοί.

Εἰρήνη πᾶσι. Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τοῦ ζωοποιοῦ Πνεύματος δυνάμει, καὶ ἐνεργείᾳ θέμενος ἡμᾶς ἐν τῇ διακονίᾳ ταύτῃ. εὐδόκησον δὴ Κύριε τοῦ γενέσθαι ἡμᾶς διακόνους τῆς καινῆς σου Διαθήκης, καὶ λειτουργοὺς τῶν ἁγίων σου Μυστηρίων. πρόσδεξαι ἡμᾶς προσεγγίζοντας τῷ ἁγίῳ σου Θυσιαστηρίῳ, καὶ ἐπὶ τῇ ἁγίᾳ σου Τραπέζῃ κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου. ἵνα

γενώ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γενώμεθα ἄξιοι προσφέρειν σοι τὴν λογικὴν ταύτην λατρείαν ἐπὶ ταύτῃ τῇ ἁγίᾳ σου Τραπέζῃ ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων, καὶ τῶν τοῦ Λαοῦ ἀγνοημάτων. καὶ ἀντικατάπεμψον ἡμῖν τὴν χάριν τοῦ παναγίου σου Πνεύματος. Ἐκφώνως.

Ὅτι εὐλόγηταί σου τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος.

## ΕΥΧΗ

### Ἐπὶ ἐξομολογουμένων.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῷ Πέτρῳ, καὶ τῇ πόρνῃ διὰ δακρύων, ἄφεσιν ἁμαρτιῶν δωρησάμενος, καὶ τὸν Τελώνην τὰ ἴδια ἐπιγνόντα πταίσματα δικαιώσας, πρόσδεξαι τὴν ἐξομολόγησιν τοῦ δούλου σου τοῦ (δεῖνος) καὶ εἴτι ἐπλημμέλησεν ἑκούσιον, ἢ ἀκούσιον ἁμάρτημα, ἐν λόγῳ ἢ ἔργῳ, ἢ κατὰ διάνοιαν, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς συγχώρησον. σὺ γὰρ μόνος ἐξουσίαν ἔχων ἀφιέναι ἁμαρτίας. καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ ἀγαθῷ, καὶ ζωοποιῷ Πνεύματι. νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ ΕΤΕΡΑ.

Ὁ Θεὸς ὁ δι' ἡμᾶς ἐνανθρωπήσας, καὶ πάντος τοῦ κόσμου τὰς ἁμαρτίας βαστάζων, αὐτὸς τῇ πανάγαθῳ αὐτοῦ χρηστότητι, καὶ ταῦτα πάντα παραδέξαιτο ὅσα ἐνώπιον αὐτοῦ τῇ ἐμῇ ἐξεῖπας ἀναξιότητι ἀδελφὲ, συγχωρῶν σοι πάντα, καὶ ἐν τῷ νῦν αἰῶνι, καὶ ἐν τῷ μέλλοντι, καὶ ἀκατάκριτον ἔμπροσθεν τοῦ βήματος αὐτοῦ παραστασθῆναι καταξιώσῃ, ὁ θέλων πάντας ἀνθρώπους σωθῆναι, καὶ μένων ἀπάντων τὴν σωτηρίαν. ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

## ΕΥΧΗ

### Συγχωρητικὴ ἐπὶ ἐξομολογουμένων. Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Θεὸς, ὁ συγχωρήσας διὰ Νάθαν τῷ προφήτῃ Δαβὶδ τὰ ἴδια ὁμολογήσαντι ἁμαρτήματα, καὶ Πέτρῳ τὴν ἄρνησιν ὕστερον κλαύ-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σαντι, καὶ πόρνῃ δακρυσάσῃ ἐπὶ τοὺς ἀχράντους αὐτοῦ πόδας, καὶ τελώνῃ, καὶ ἀσώτῳ. καὶ ὁ εἰπών. ἐξομολογεῖσθε ἀλλήλοις. καί, ἐὰν ἐξομολογῶμεν τὰς ἁμαρτίας ἡμῶν, πιστός ἐστι καὶ δίκαιος, ἵνα ἀφήσῃ ἡμῖν πάντα, καὶ καθαρίσῃ ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας. αὐτὸς ὁ Σωτὴρ ἡμῶν, καὶ Κς Ἰησοῦς Χς συγχωρήσαι σοι, πάντα ὅσα νῦν ἐνώπιον αὐτοῦ τῇ ἐμῇ ἐλαχιστότητι ὁμολογήσω, καὶ ὧν ἐπελάθου, ἐν τῷ νῦν αἰῶνι, καὶ ἐν τῷ μέλλοντι, καὶ ἀκατάκριτόν σε ἔμπροσθεν αὐτοῦ παραστῆναι καταξιώσῃ. ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας. Ἀμήν.

## ΕΥΧΗ ΕΤΕΡΑ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ.

Τοῦ Κυρίου δεηθῶμεν.

Δέσποτα Κε Ἰησοῦ Χε, ὁ Θεὸς ἡμῶν, ὁ συγχωρήσας διὰ Νάθαν τοῦ προφήτου τῷ Θεοπάτορι Δαβὶδ τὰ πλημμελήματα αὐτοῦ, ἅτινα εἰργάσατο, καὶ εἰπὼν αὐτῷ. καὶ ὁ Κς ἀφεῖλετο τὸ ἁμάρτημά σου, διὰ τὸ εἰπεῖν, ἡμάρτηκα τῷ Κῳ. ὁ τῷ Πέτρῳ τὴν ἄρνησιν κλαύσαντι πικρῶς, καὶ ἐξομολογουμένῳ συμπαθήσας, καὶ προσδεξάμενος τὰ αὐτοῦ δάκρυα. ὁ καὶ τὴν Πόρνην δακρύσασαν θερμῶς, καὶ καταβρέξασαν τοὺς ἀχράντους σου πόδας, καὶ ταῖς θριξὶν αὐτῆς ἐκμάξασαν προσδεξάμενος, καὶ εἰπὼν αὐτῇ, γύναι ἀφαίονταί σοι αἱ ἁμαρτίαι σου. ὁ τὸν Μανασσῆν μετανοήσαντα ἐν Βαβυλῶνι, καὶ ἐν χαλκῷ Ζωδίῳ ἐξομολογούμενόν σοι, ἐν τῇ Σιὼν πάλιν βασιλέα κατέστησας, ὁ τὸν ἄσωτον καταδαπανήσαντα πᾶσαν αὐτοῦ τὴν οὐσίαν μετὰ πορνῶν, καὶ δίκην φορβὴν χοίρων διαιτώμενον, ὑποστρέφοντα καλῶς ὑπεδέξω, θύσας τὸν μόσχον τὸν σιτευτόν, καὶ καταφιλήσας αὐτὸν δακτυλίδιον τῇ χειρὶ ἐπιβάλλων. ὁ τοῦ Τελώνου τὴν μετάνοιαν καὶ τὴν ταπείνωσιν, ὑπὲρ τοῦ μεγαλαύχου Φαρισαίου ἀναδεξάμενος, καὶ δικαιώσας ῥήματι. ὁ καὶ τοῦ Ληστοῦ μετάνοιαν ἐπὶ τοῦ Σταυροῦ δεξάμενος, ὁ εἰπών. ἐξομολογεῖσθε ἀλλήλοις τὰ παραπτώματα ὑμῶν ἀμφοτέρωθεν. καθὼς ἐκάλεσας, πιστὸς ὑπάρχεις καὶ δίκαιος, ἵνα ἀφήσῃς ἡμῖν πάντα, καὶ καθαρίσῃς ἡμᾶς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνς. σὺ Κε πανάγαθε καὶ πολυέλεε, συγχώρησον πάντα ὅσα ἐνώπιόν σου τῇ ἐμῇ ἐλαχιστότητι ἐξομολογήσατο μετὰ συντετριμμένης καρδίας τὸ πνευματικόν μου τέκνον (ὁ δεῖνα) καὶ ἐν τῷ νῦν αἰῶνι, καὶ ἐν τῷ μέλλοντι, καὶ

ἀκα-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀκατάκριτον αὐτὸν ἔμπροσθέν σου παραστῆναι καταξίωσον. ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας. Ἀμήν.

## ΑʹΦΕΣΙΜΟΝ.

Ὁ Τῶν οἰκτιρμῶν πατὴρ, καὶ τοῦ ἐλέους Θεὸς, ὁ μὴ θελήσει θέλων τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν. ὁ πάντα πρὸς σωτηρίαν αἰτήματα παρεχόμενος. αὐτὸς καὶ τὴν σὴν ἐκ πίστεως αἴτησιν, τέκνον, εὐμενῶς προσηκάμενος, καὶ παραβλέψας τὰ τῆς ἀνθρωπίνης ἀσθενείας παραπτώματα, συγχωρήσῃ δί ἡμῶν πᾶν ἁμάρτημα ἐκ πρώτης ἡλικίας, καὶ μέχρι τῆς δεῦρο σοι καταστάσεως πεπραγμένα ἐν ἔργῳ καὶ λόγῳ, καὶ διανοίᾳ, κατὰ γνῶσιν καὶ ἄγνοιαν. ὧν δηλονότι καὶ τὴν ἐξαγορείαν ἐποίησας πᾶσι πνευματικοῖς, καὶ τὴν ἀποχὴν, ὡς δύναμις διεσπούδασας. ἔσο οὖν πεποιθὼς, ὡς οὐκέτι ἐμποδὼν γένονταί σοι τὰ πρώην ἡμαρτημένα παρὰ σοῦ. ἀλλὰ τῆς τῶν σωζομένων μερίδος καταξιωθήσῃ διὰ φιλανθρωπίαν Θεοῦ. πρεσβείαις τῆς Θκου. Ἀμήν.

Ἀφέσιμον.

Θύγατερ μοναχή. ἐὰν ἐξ ὅλης ψυχῆς προσῆλθες τῷ Θείῳ καὶ ἀγγελικῷ μεγάλῳ Σχήματι τῆς μοναδικῆς πολιτείας ἀρνησαμένη κόσμον, καὶ καθαρῶς ἐξομολογησαμένη, καὶ θριαμβεύουσα τὰς ἁμαρτίας σου. δέξαι τὸ παρὸν ἀφέσιμον. εἰ μὲν τελευτήσῃς ἐφόδιον σωτηρίας διὰ τῆς χάριτος τοῦ Χυ. εἰ δὲ καὶ ἔτι ζήσῃς, ἔστωσοι καὶ ἐχέγγυον μετανοίας. ἵνα μὴ στραφῇς εἰς τὰ ὀπίσω, ὡς κύων ἐπὶ τὸν ἴδιον ἔμετον, ἀλλ' ἐπεκταθῇς ἐπὶ τὰ ἔμπροσθεν, καὶ προκόψῃς εἰς ἀρετὴν οἰκειοῦσαν Θεῷ, καὶ προξενοῦσαν ἀπόλαυσιν τῶν αἰωνίων ἀγαθῶν. πρεσβείαις τῆς Θκου, καὶ πάντων τῶν ἁγίων. Ἀμήν.

## ΤΑʹΞΙΣ

Εἰς λύσιν τετελευτηκότος ἐν δεσμοῖς Ἀρχιερέως.

Γράφει ταῦτα ὁ Ἀρχιερεὺς εἰς χαρτίον, καὶ ἀποδίδωσί τινι τοῦ ἀναγνῶναι ἐπάνω τοῦ τεθνηκότος, ἢ αὐτὸς δί ἑαυτοῦ ταῦτα λέγει.

Ἔφθασε μὲν ἡ ταπεινότης ἡμῶν ἀφορισμὸν ἐνεγκεῖν ἐπὶ τῷ ἀλαβεστάτῳ τῷ (δεῖνι) διὰ τὸ συμβὰν ἐπ' αὐτῷ ἀτόπημα, οἷα τὰ τοῦ δαίμονος πανουργήματα τῇ ἀνθρωπίνῃ φύσει ἐναποτίκτονται. ἐπεὶ δὲ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

οἷς τρόποις οἶδεν ὁ τὰ πάντα καὶ πρὶν γενέσεως αὐτῶν ἐπιστάμενος Κύριος, τὸ κοινὸν ὄφλημα (1) ἀπητίσατο, ὁ τοιοῦτος ἐν ἑαυτῷ τὸν τοῦ ἀφορισμοῦ τυφῶμα ἐπιφέρων, διὰ τοῦ παρόντος χαρτίου λύομεν αὐτὸν τοῦ τοιούτου ἀφορισμοῦ ἐν τῷ ἁγίῳ Πνεύματι, καὶ ἔσται λελυμένος ἐν τῷ μέλλοντι, σὺν ἅπασι χριστιανοῖς τὸν Κύριον ἐποψόμενος, καὶ μετὰ τῆς εὐλογημένης μερίδος τοῦ Πατρὸς τὴν εὐλογημένην καὶ μακαρίαν φωνὴν ἀκουσόμενος. Τοῦτο δὲ πράττομεν τῇ τοῦ Κυρίου θαρροῦντες φωνῇ τῇ, ὃ ἐὰν δήσητε (2) λέγουσαν ἔσται δεδεμένον, καὶ ὃ ἐὰν λύσητε, ἔσται λελυμένον.

(1) Ἀπετίσατο. (2) Λεγούσῃ.

## ΕΥ'ΧΗ'

### Εἰς λύσιν ἀφορισμοῦ τεθνηκότος.

Ὁ Ἐξουσίαν δοὺς τοῖς ἁγίοις αὐτοῦ Ἀποστόλοις καὶ μαθηταῖς Χριστὸς ὁ Θεὸς δεσμεῖν τε καὶ λύειν. κελεύσας τό, ἐὰν δήσωσιν ἐπὶ τῆς Γῆς, ἔσται δεδεμένον καὶ ἐν τῷ Οὐρανῷ. καὶ ὅσα ἂν λύσωσιν, ὡσαύτως λελυμένα ὦσι. αὐτὸς διὰ τῆς δοθείσης μοι ἀπὸ τῆς ζωαρχικῆς δωρεᾶς τοιαύτης ἐξουσίας, τοῦ δεσμεῖν δηλονότι καὶ λύειν, συγχωρῆσαί σοι τῷ ἐν τούτῳ τάφῳ κειμένῳ τῷ (δεῖνι) τοῦ ἐπικειμένου σοι ἀφορισμοῦ τῆς ἐμῆς εὐτελείας, οὗτινος τὴν λύσιν οὐκ ἔφθασας λαβεῖν ἔτι ζῶν. ἀλλ' ὁ νεκρῶν καὶ ζώντων ἐξουσιάζων Θεός, συγχωρήσῃ σοι τὸ τοῦ ἀφορισμοῦ παρὰ τῆς ἐμῆς ταπεινότητος ἔγκλημα, καὶ τῆς τῶν σωζομένων ἀξιώσῃ μερίδος, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος. ᾧτινι τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι.

## ΛΥ'ΣΙΣ Α'ΦΟΡΙΣΜΟΥ.

Τέκνον, ὁ Θεὸς ὁ ἅγιος καὶ ποιητὴς τοῦ παντός, ὁ μόνος γινώσκων τὸν τρόπον τῆς ζωῆς ἑκάστου ἀνθρώπου, ἵλεώς σοι γένοιτο, ἀντὶ τοῦ πικροῦ θανάτου, ὃν ὑπέστης διὰ χειρῶν βαρβάρων ἀναιρεθείς. κἂν ἀπὸ νεωτερικοῦ φρονήματος ἀπαγόμενος, ἀδιόρθωτος ἔμεινας ἀπὸ τοῦ σφάλματος οὗπερ ἔσφαλες, διόπερ καὶ ἀφωρίσθης. ἀλλὰ κἀκεῖνο συγχωρηθείη σοι διὰ σπλάγχνα ἐλέους Θεοῦ, ἐφ' οἷς καὶ θαρρήσασα ἡ ταπεινότης ἡμῶν ἀπολέλυκέ σε ἐν ἁγίῳ Πνεύματι ἀπὸ τῶν ἀφύκτων δεσμῶν

τοῦ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τοῦ ἀφορισμοῦ, καὶ συνέταξέ σε μετὰ πιστῶν· ὥστε καὶ οὐδὲν ἐν ἡμέρᾳ Θεοῦ, καὶ ἀνταποδόσεως τῶν ἑκάστῳ βεβιωμένων πρόσκομμά σοι ἐντεῦθεν γενήσεται, πρὸς τὸ τυχεῖν τῆς ἐν Χριστῷ σωτηρίας. πρεσβείαις τῆς Θεοτόκου, καὶ πάντων τῶν ἁγίων. Ἀμήν.

## ΕΥΧΗ

### Ἐπὶ πᾶν εἶδος ἀῤῥωστίας.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὰ χρόνια καὶ δεινὰ πάθη λόγῳ μόνῳ θεραπεύσας, ὁ τὴν πενθερὰν Πέτρου πυρέττουσαν ἰασάμενος, αὐτὸς καὶ νῦν Δέσποτα ἴασαι τὸν δοῦλόν σου ἀπὸ τῆς συνεχούσης αὐτὸν μάστιγος. ὁ παιδεύων συμπαθῶς, καὶ ἰώμενος ἀγαθῶς, ὁ πᾶσαν νόσον καὶ μαλακίαν ἀφαιρεῖσθαι δυνάμενος. καὶ ἀνάστησον αὐτὸν ἀπὸ κλίνης ὀδυνηρᾶς, καὶ ἀπὸ στρωμνῆς κακώσεως, ἐπιθεὶς ἐπ' αὐτὸν τὸ φάρμακον τοῦ ἐλέους σου. παράσχου αὐτῷ τελείαν ἴασιν καὶ ὑγείαν. Ὅτι σὺ εἶ ὁ ἰατρὸς τῶν σωμάτων, καὶ τῶν ψυχῶν ἡμῶν. καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν.

## ΕΥΧΗ ΕΙΣ ΑΣΘΕΝΟΥΝΤΑ.

### Τοῦ Κυρίου δεηθῶμεν.

Δέσποτα Κύριε σαβαὼθ ὁ Θεὸς ἡμῶν, ὁ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ ἐπὶ τῶν Χερουβὶμ καθεζόμενος, καὶ ὑπὸ τῶν Σεραφὶμ ἀνυμνούμενος, ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ ἐφορῶν, ὁ ἀνατέλλων τὸν Ἥλιον ἐπὶ πονηρούς, καὶ ἀγαθούς, καὶ βρέχων ἐπὶ δικαίους, καὶ ἀδίκους, ὁ διακρατῶν, καὶ διακυβερνῶν ἀρρήτῳ δυνάμει καὶ σοφίᾳ πᾶσαν τὴν κτίσιν, καὶ πᾶσαν πνοήν, ὁ παιδεύων καὶ πάλιν ἰώμενος. δέξαι με προσερχόμενον τῇ σῇ ἀγαθότητι, καὶ μὴ βδελύξῃ με τὸν ἁμαρτωλόν, ἀλλ' ἐπάκουσόν μου τῆς φωνῆς τῆς δεήσεώς μου, καὶ ἐξαπόστειλον βοήθειαν ἐξ ἁγίου Κατοικητηρίου σου, σπλαγχνισθεὶς ἐπὶ τῷ πλάσματι τῶν χειρῶν σου, ὁ πάντων τὰς προσευχὰς ἐπακούων, καὶ ἴασαι τὸν δοῦλόν σου τὸν (δεῖνα) ἐκ τῆς συνεχούσης αὐτὸν ἀσθενείας. Σὸν γάρ ἐστι τὸ ἐλεεῖν καὶ σώζειν, Χριστὲ ὁ Θεὸς ἡμῶν. καὶ σοὶ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## Ε Υ' Χ Η'

Γινομένη ὑπὸ τοῦ Πατριάρχου, ὅτε πρὸς συνήθειαν ἐπιτελεῖ τὴν φύγην ὁ Βασιλεὺς τῇ ιε. αὐγούστου ἐν Βλαχέρναις.

Τοῦ Διακόνου λέγοντος, Τοῦ Κυρίου δεηθῶμεν, Καὶ συναπτὴν, εὔχεται.

Ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ὁ εὐδοκήσας ἄμπελον κληθῆναι τὸν μονογενῆ σου Υἱὸν καὶ Θεὸν, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, καὶ δι' αὐτοῦ καρπὸν ἀθανασίας ἡμῖν χαρισάμενος. αὐτὸς καὶ τοῦτον τὸν καρπὸν τῆς ἀμπέλου εὐλόγησον, καὶ ἡμᾶς τοὺς μεταλαμβάνοντας ἀξίωσον ἀκατακαταγνώστως εὐχαριστεῖν, καὶ δοξάζειν σε τὸν δοτῆρα καὶ χορηγὸν πάντων τῶν πρὸς διατροφὴν ἡμῶν ἀγαθῶν σου. καὶ τοὺς δούλους σου τοὺς πιστοὺς Βασιλεῖς ἡμῶν, τῆς ἀληθινῆς ἀμπέλου μετόχους ποίησον, ἀνεπηρέαστον αὐτῶν τὴν ζωὴν διαφύλαξον, ταῖς αἰωνίοις σου ἀναφαιρέτοις δωρεαῖς αὐτοὺς κατακόσμησον, εἰρήνην διὰ παντὸς αὐτοῖς χαριζόμενος. πρεσβείαις τῆς ἁγίας Θεοτόκου, καὶ πάντων τῶν ἁγίων τῶν ἀπ' αἰῶνος σοι εὐαρεστησάντων, ἀγαθότητι, καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ. καὶ τὰ ἑξῆς.

Ὁ Ἱερεύς. Εἰρήνη πᾶσι.

Ὁ Διάκονος. Τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε.

Κύριε τῶν δυνάμεων, ὁ Βασιλεὺς τῆς δόξης, τοὺς τὴν ἐπίγειον βασιλείαν ὑπὸ σοῦ πιστευθέντας, ἐν πάσῃ εὐσεβείᾳ καὶ εἰρήνῃ διατήρησον, ὁδήγησον αὐτοὺς ἐπὶ λιμένα θελήματός σου, δώρησαι αὐτοῖς τῶν ἐπουρανίων ἀγαθῶν τὴν ἀπόλαυσιν, καὶ ἡμᾶς τοὺς ἐπικαλουμένους τὸ ἅγιον ὄνομά σου ἐν μεταλήψει τοῦ ὑπὸ σοῦ τελεσφορηθέντος τῆς ἀμπέλου καρποῦ μετὰ τῶν ἐγκοσμίων καὶ τῶν ἀπορρήτων σου ἀγαθῶν καταξίωσον. Σὺ γὰρ εἶ ὁ Βασιλεὺς τῆς δόξης, καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν. καὶ σοὶ τὴν δόξαν.

## ΕΥ'ΧΗ' ΕΝ Α'ΡΧΗ, ΣΠΟΡΙ'ΜΩΝ

Ὁ Ὢν Δέσποτα, Κύριε ὁ Παντοκράτωρ, καὶ Πατὴρ τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ κτίστης καὶ δημιουργὸς τῶν ἁπάν-

των,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

των, ὁ ποιήσας τὴν γῆν, καὶ τὸν Ἄνθρωπον ἐξ αὐτῆς, ἐξ ἀρχῆς εἰπών· Ἐξαγαγέτω ἡ Γῆ τὴν βοτάνην χόρτου, καὶ σπέρμα κατὰ γένος, καὶ ὁμοιότητα, καὶ μέχρι τοῦ νῦν διδοὺς τροφὴν πάσῃ σαρκί. ὁ ἐπιχορηγῶν σπέρμα τῷ σπείροντι, καὶ ἄρτον εἰς βρῶσιν. ἐπάκουσον τῆς δεήσεως ἡμῶν ὁ Θεὸς, καὶ ἐξαπόστειλον τὴν εὐλογίαν σου ἐπὶ τὰ σὰ κτίσματα. εὐδόκησον πολυπλασίονα τὸν σπόρον γενέσθαι ἐν τῇ δυνάμει τοῦ Χυ. πλήθυνον τὰ γεννήματα τῆς γῆς. ἵνα ἐν πᾶσι πλουτιζόμενοι οἱ σοὶ δοῦλοι, καὶ πᾶσαν αὐτάρκειαν ἔχοντες, περισσεύσωμεν εἰς πᾶν ἔργον ἀγαθόν. Φιλανθρωπίᾳ, καὶ οἰκτιρμοῖς τοῦ Υἱοῦ σου, μεθ' οὗ σοι δόξα, τιμὴ, καὶ προσκύνησις, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ ΕΙΣ ΛΙΜΝΗΝ.

Εὔσπλαγχνε, εὐσυμπάθητε, πολυέλεε Κε, ἔπιδε τὴν παροῦσαν λίμνην, καὶ ἐπὶ τοὺς οἴκους τοὺς ἐνθάδε κειμένους, καὶ ἐπὶ τοὺς δούλους σου τοὺς (δεῖνα) τοὺς εὑρισκομένους, καὶ εἰσιόντας, καὶ ἐξιόντας εἰς τὴν παροῦσαν Λίμνην. καὶ ῥῦσαι αὐτοὺς ἐκ πάσης πλάνης τοῦ ἐχθροῦ, καὶ ἐπιβουλῶν, καὶ ἐνέδρων κακοηθῶν ἀνθρώπων, καὶ ἀπὸ φθόνου, καὶ ζήλου, καὶ κακῶν ὀφθαλμῶν. καὶ κατάπεμψον τὴν εὐλογίαν σου ἐπὶ τῇ παρούσῃ Λίμνῃ, καὶ πέμψον πλῆθος εἰς τοὺς Ἰχθύας ὡς τὰ ἄστρα τοῦ Οὐρανοῦ, καὶ ὡς τὴν ἄμμον παρὰ τὸ χεῖλος τῆς Θαλάσσης. ὅπως εὐφρανθῶσιν οἱ δοῦλοί σου ἐπὶ τὸ πλῆθος τῶν Ἰχθύων τούτων. καὶ ὡς ἔστειλας τὴν εὐλογίαν σου ἐπὶ τὰ Δίκτια Πέτρου ἀποστόλου, καὶ ἐπὶ τὰ δίκτυα τῶν λοιπῶν ἁγίων Ἀποστόλων, πέμψον καὶ τὴν εὐλογίαν σου ἐπὶ τοὺς Ἰχθύας τῆς παρούσης Λίμνης, καὶ ἐπὶ τὰ Δίκτυα αὐτῶν. μαὶ Κε ἐπάκουσον ἡμῶν τῶν ταπεινῶν, καὶ ἁμαρτωλῶν τῶν δεομένων σου, καὶ εὐλόγησον τοὺς οἴκους τῶν δούλων σου, καὶ τὴν παροῦσαν Λίμνην. πρεσβείαις τῆς ὑπερευλογημένης Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας, τῶν θείων ἐπουρανίων Ἀσωμάτων, τοῦ τιμίου ἐνδόξου προδρόμου, καὶ βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων καὶ πανευφήμων Ἀποστόλων, τοῦ ἐν ἁγίοις πρς ἡμῶν Νικολάου μύρων τῆς Λυκίας τοῦ θαυματουργοῦ, καὶ πάντων τῶν ἁγίων. Ὅτι σὺ εἶ ἡ πηγὴ τῆς ζωῆς, τῶν ἰαμάτων, καὶ δοτὴρ τῶν ἀγαθῶν. καὶ σοὶ τὴν δόξαν.

Ἑτέ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἑτέρα εὐχή.

Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ ὁρίσας τοὺς ἁγίους σου μαθητὰς καὶ ἀποστόλους, ἵνα ῥίψωσι τὰ δίκτυα εἰς τὰ δεξιὰ μέρη, καὶ ἀρήσωσι πολύ. καὶ ὁ λόγος ἔργον εὐθὺς ἐγένετο, καὶ ἐκλείσθησαν ἰχθύες πολλοί. οὕτως εὐλόγησον τὰ δίκτυα, καὶ τὴν λίμνην ταύτην. καὶ πέμψον τὴν εὐλογίαν σου εἰς αὐτά, ὥσπερ τὰ ἄστρα τοῦ Οὐρανοῦ, καὶ ὥσπερ τὴν ἄμμον ἐπὶ τὸ χεῖλος τῆς θαλάσσης. ἐπὶ ὀνόματος τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΣΥΝΤΑΞΙΣ ΕΙΣ ΤΕΚΝΟΠΟΙΙΑΝ.

Χρὴ γινώσκειν ὅτι μετὰ τὸ ἀναγνῶναι τὸ μεγαλεῖον, εἰσέρχεται ὁ μέλλων τεκνοποιεῖν, καὶ βάλλει μετάνοιαν, καὶ λέγει ὁ Ἱερεὺς τὴν εὐχήν.

Ὁ Θεὸς ὁ αἰώνιος, ἡ ἐλπὶς ἡμῶν, ἡ καταφυγὴ, καὶ σωτηρία, καὶ σκέπη, ὁ πάντας θέλων ποιεῖν τὸ ἀγαθόν. αὐτὸς Δέσποτα ἐπίσκεψαι τὸν δοῦλόν σου τὸν (δεῖνα) τὸν ἐπικεκλημένον τὸ ὄνομα τοῦ Χριστοῦ σου, καὶ προσελθόντα ἐν τῷ ἁγίῳ σου Ναῷ τούτῳ εἰς μίμησιν τῶν ἁγίων τῶν ἀπ᾽ αἰῶνός σοι εὐαρεστησάντων. καὶ νῦν αἰτούμεν σε φιλάνθρωπε Κύριε, ἐκπλήρωσον τὸ αἴτημα αὐτοῦ ὃ ᾑρετίσατο, καὶ δὸς αὐτῷ τεκνογονῆσαι ἐν καθαρᾷ καρδίᾳ, ἄσπιλον τῷ σώματι, καὶ πεπλησμένον Πνεύματι. ἵνα καὶ ἐν τούτῳ δοξάσῃ τὸ ὄνομα τοῦ Πατρός.

Καὶ μετὰ τὴν εὐχὴν ἐκτείνει τὰς χεῖρας εἰς τὰ Διάστυλα τῆς Ἐκκλησίας, καὶ βάλλει μετάνοιαν τῷ Ἱερεῖ ὁ μέλλων τεκνοποιῆσαι. καὶ ὁ Ἱερεὺς προσάγει αὐτὸν ἐν τῇ ἁγίᾳ τραπέζῃ καὶ προσκυνεῖ. καὶ εἶθ᾽ οὕτως κυκλοῖ τὸν ἤδη ταχθέντα πατέρα τρίς. καὶ βάλλει αὐτῷ μετάνοιαν, καὶ ἀσπάζεται τοῖς ποσὶν αὐτοῦ. καὶ λέγει ὁ Ἱερεὺς τὴν εὐχὴν ταύτην.

Κύριε ὁ Θεὸς ἡμῶν ὁ διὰ τοῦ ἠγαπημένου σου παιδός. καὶ τὰ ἑξῆς ὡς ἐν τῇ τῆς υἱοθεσίας φ. 275.

## ΕΥΧΗ ΕΤΕΡΑ ΕΙΣ ΤΕΚΝΟΠΟΙΙΑΝ.

Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ συνάναρχος Υἱὸς τοῦ ἀνάρχου Πατρὸς, ὁ εὐλογημένος Υἱὸς τοῦ εὐλογημένου Πατρὸς, τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν,

ὁ ἐκ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὁ ἐκ τοῦ Οὐρανοῦ κατελθὼν, καὶ σαρκωθεὶς ἐκ τῆς ἁγίας Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας ἐν τῇ σκηνῇ τοῦ Ἰωσὴφ, καὶ γενόμενος ὑπήκοος αὐτοῖς, καὶ ὑποτασσόμενος ὡς τέκνον γονεῦσιν, ἕως τὸ πλήρωμα τῆς ἡλικίας τῆς σαρκὸς κατὰ τὸν νόμον πληρώσας. ὁ καὶ τὸν Ἰωσὴφ Πατέρα ὀνομάζεσθαι καταδεξάμενος, καὶ τοὺς υἱοὺς αὐτοῦ ἀδελφοὺς καλέσας, καὶ τῆς χειρὸς τὸ παιδάριον κρατήσας Ἰγνάτιον, καὶ εἰπὼν τοῖς ἑαυτοῦ μαθηταῖς. ἐὰν μὴ στραφῆτε, καὶ γένησθε ὡς τὸ παιδάριον τοῦτο, οὐ δύνασθε εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν Οὐρανῶν. καί τις εἰπὼν πρὸς σέ. ὅτι ὁ Πατήρ σου καὶ ἡ μήτηρ σου ἔξω σε ζητοῦσι. καὶ τὰς χεῖρας πρὸς τοὺς σοὺς Μαθητὰς ἐκτείνας, εἰπών. οὗτοί μου Πατέρες καὶ Μητέρες, Ἀδελφοὶ, καὶ Ἀδελφαὶ, καὶ τέκνα, οἱ ποιοῦντες τὸ θέλημα τοῦ Πατρός μου τοῦ ἐν Οὐρανοῖς. καὶ ὅταν ἐν τῷ Σταυρῷ τὰς χεῖρας ἥπλωσας, καὶ ἥλοις προσηλώθης διὰ τὴν ἡμετέραν σωτηρίαν, καὶ τῆς Μητρός σου, καὶ τοῦ Μαθητοῦ σου παρεστηκότος, εἶπας. Γύναι, ἴδε ὁ υἱός σου, εἶτα λέγεις τῷ μαθητῇ, ἰδοὺ ἡ μήτηρ σου. αὐτὸς Χριστὲ ὁ Θεὸς ἡμῶν, εὐλόγησον τὸν δοῦλόν σου τὸν (**δεῖνα**) καὶ τὸν (**δεῖνα**) τὸν τεκνοποιοῦντα ἐν τῷ σῷ ὀνόματι, καὶ ἐν τῷ σῷ Ναῷ. χάρισαι αὐτοῖς τὴν γνῶσιν τοῦ ἁγίου σου Πνεύματος, ὁδήγησον αὐτοὺς ἐν τῷ ἁγίῳ σου φόβῳ, εὔφρανον αὐτοὺς ἐν τῇ δυνάμει σου. ἵνα γένωνται πνευματικοὶ πατὴρ καὶ τέκνον, ὑπὲρ τοὺς σαρκικοὺς, καὶ ἀσκανδάλιστοι καὶ ἀμίσητοι μένωσι, πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτῶν. Ὅτι πρέπει σοι.

## ΕΥΧΗ

### Ἐπὶ τοῖς προσφέρουσιν Ἀμνόν.

Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν, ὁ προσδεξάμενος τοῦ Ἀβραὰμ τὴν ὁλοκάρπωσιν ἀντὶ Ἰσαὰκ υἱοῦ αὐτοῦ. αὐτὸς Δέσποτα πρόσδεξαι καὶ τὴν προσφορὰν τοῦ Ἀρνοῦ τούτου, καὶ τοὺς προσάγοντας τοῖς αἰωνίοις σου ἀνταμεῖψαι δωρήμασι. Χάριτι τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

## ΕΥΧΗ

### Πρὸ Ἀρίστου ἐν τῇ κατ' οἶκον εὐωχίᾳ.

Ὁ Θεὸς ὁ πάσης εὐφροσύνης καὶ χαρᾶς χορηγὸς, ὁ χαρισάμενος ἡμῖν ἄρτον στηρίζοντα, καὶ οἶνον εὐφραίνοντα. δὸς ἡμῖν γενέσθαι τὴν ἑτοι-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἑτοιμασθεῖσαν βρῶσιν παρὰ τῆς σῆς ἀγαθότητος, μὴ εἰς σαρκὸς ἐπανάστασιν, ἢ ψυχῆς διάλυσιν, ἢ λήθην τῶν σωτηρίων σου ἐντολῶν. ἀλλ' εἰς ἀφορμὴν εὐχαριστίας, εἰς ὑπόθεσιν δοξολογίας, εἰς ἔπαινον καὶ δόξαν τῆς πολυϋμνήτου σου μεγαλότητος. ἵνα τῶν παρόντων μεταλαμβάνοντες, καὶ τῆς αἰωνίου τρυφῆς ἀξιωθῶμεν. Ὅτι σὺ μόνος εἶ χορηγὸς τῶν πάντων ἡμῶν. Καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν.

Εὐχὴ ἑτέρα πρὸ τοῦ Ἀρίστου.

Κύριε ὁ Θεὸς ἡμῶν ὁ ἐπουράνιος καὶ ζωοποιὸς ἄρτος, ὁ ἐκ τοῦ Οὐρανοῦ καταβὰς, καὶ ζωὴν τῷ κόσμῳ χαρισάμενος, ἡ ἀληθινὴ τροφὴ τοῦ παντὸς, ὁ κατὰ τὴν παροῦσαν ζωὴν ἡμᾶς κυβερνῶν, καὶ τῆς μελλούσης ἡμῖν τὴν ἀπόλαυσιν ἀπαγγειλάμενος. αὐτὸς καὶ νῦν εὐλόγησον τὴν βρῶσιν ἡμῶν, καὶ τὴν πόσιν, καὶ ἀκατακρίτως αὐτῶν μετασχεῖν ἡμᾶς καταξίωσον, δοξάζοντάς σε, καὶ εὐχαριστοῦντάς σοι τῷ χορηγῷ πάντων τῶν ἀγαθῶν δωρημάτων. Ὅτι ηὐλόγηται καὶ δεδόξασται τὸ πάντιμον.

Εὐχὴ μετὰ τὸ ἀναστῆναι ἐκ τοῦ Ἀρίστου.

Σοὶ τῷ ἀληθινῷ, καὶ φιλανθρώπῳ Θεῷ ἡμεῖς οἱ ἁμαρτωλοὶ, καὶ ἀνάξιοι δοῦλοί σου, ἐμπλησθέντες τῶν πλουσίων σου ἀγαθῶν εὐχαριστείαν προσάγομεν. καὶ δεόμεθά σου Δέσποτα, σὺν τοῖς ἐπιγείοις σου ἀγαθοῖς, καὶ τῶν ἐπουρανίων σου δωρεῶν μετόχους ἡμᾶς ἀνάδειξον. πρεσβείαις τῆς ἀχράντου Μητρός σου, καὶ πάντων τῶν ἁγίων σου. Ὅτι πρέπει σοι πᾶσα δόξα. καὶ τὰ ἑξῆς.

Εὐχὴ ἑτέρα μετὰ τὸ Ἄριστον.

Ὁ Θεὸς ὁ τρέφων ἡμᾶς ἐκ τῆς νεότητος ἡμῶν, ὁ διδοὺς τροφὴν πάσῃ σαρκὶ, ὁ δοτὴρ τῶν ἀγαθῶν, καὶ χορηγὸς τῆς ζωῆς ἡμῶν, ποίησον τὴν μετάληψιν εὐφροσύνην, τὴν περιουσίαν εἰς εὐλογίαν, καὶ τοὺς ὑποδεξαμένους ἡμᾶς διὰ τὸ ὄνομά σου τὸ ἅγιον εὐλογήσας, ἔμπλησον αὐτῶν τὰ ταμεῖα τῶν ἀγαθῶν σου, καὶ τὰς ψυχὰς ἐν ἁγιασμῷ διατήρησον. Ἵνα δοξάζηται τὸ πανάγιον ὄνομά σου, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος.

Εὐχὴ εἰς εὐλόγησιν τοῦ Κανισκίου τῆς τραπέζης.

Σοὶ τῷ ἀληθινῷ Θεῷ ἡμῶν τῷ δοτῆρι πάντων τῶν ἀγαθῶν, καὶ χορηγῷ τῆς ζωῆς ἡμῶν, ἐμπλησθέντες τῶν πλουσίων σου ἀγαθῶν, δόξαν καὶ εὐχαριστίαν ἀναπέμπομεν. καὶ δεόμεθά σου Βασιλεῦ παντοδύναμε, φύλαττε τοὺς δούλους σου τοὺς Βασιλεῖς ἡμῶν, καὶ ἡμᾶς ἀπὸ πάσης προσβολῆς ἁμαρτίας, εὐλογῶν τὴν περιουσίαν τῆς βρώσεως ἡμῶν,

πρὸς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πρὸς δόξαν σὴν, καὶ τοῦ μονογενοῦς σου Υἱοῦ, καὶ τοῦ παναγίου Πνς. νῦν καὶ ἀεί.

## ΕΥ'ΧΗ'

### Εἰς τὸ μαθεῖν παντοῖα ἱερὰ γράμματα.

ΚΥ'ριε Ἰησοῦ Χε̃, ὁ Θεὸς ἡμῶν, ὁ ἐνοικήσας καὶ φωτίσας τὰς καρδίας τῶν εἰκοσιτεσσάρων πρεσβυτέρων, ἄνοιξον τὰ ὦτα, καὶ φώτισον τὴν ψυχὴν τοῦ δούλου σου τοῦ (δεῖνος.) Κύριε Ἰησοῦ Χε̃, ὁ ἐνοικήσας καὶ φωτίσας τὰς καρδίας Ἐνὼχ, καὶ Ἠλία, καὶ Ἰὼβ, αὐτὸς οὖν Κύριε φώτισον τὴν καρδίαν τοῦ δούλου σου τοῦ (δεῖνος.) Κύριε Ἰησοῦ Χε̃ ὁ Θεὸς ἡμῶν, ὁ ὑπομνήσας, καὶ φωτίσας τὸν πρωτομάρτυρα Στέφανον, αὐτὸς καὶ νῦν Κύριε, φώτισον τὴν ψυχὴν τοῦ δούλου σου τοῦ (δεῖνος.) Κε̃ Ἰυ̃ Χε̃, ὁ ἐνοικήσας εἰς τὰς καρδίας τῶν εὐαγγελιστῶν Ματθαίου, Μάρκου, Λουκᾶ, καὶ Ἰωάννου, αὐτὸς Κύριε φώτισον τὴν ψυχὴν τοῦ δούλου σου τοῦ (δεῖνος.) Κύριε Ἰησοῦ Χε̃, ὁ ἐνοικήσας τὰς καρδίας τῶν ἀποστόλων, αὐτὸς καὶ νῦν Κύριε φώτισον τὸν νοῦν καὶ τὴν καρδίαν τοῦ δούλου σου τοῦ (δεῖνος.) ἅγιε Ματθία, ἅγιε Ἀγάπητε, ἅγιε Φίλητε, βοηθήσατε τοῦ δούλου τοῦ Θεοῦ τοῦ (δεῖνος.) νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥ'ΧΗ'

### Ἐπὶ πασχόντων ὑπὸ Δαιμόνων.

Ὁ Τὸν τυραννήσαντα Διάβολον, καὶ τὴν σὺν αὐτῷ στρατιὰν τῶν Δαιμόνων καταλύσας τῇ ἐπιφανείᾳ τοῦ Χυ̃ σου, ἐπίφανον ἐπὶ τὸ πλάσμα σου τοῦτο, ὃ κατὰ τὴν εἰκόνα σὴν ἐποίησας, τὸ καταδυναστευόμενον ὑπὸ τῶν ἀντικειμένων πνευμάτων. ἐπιτίμησον ἅγιε τοῖς ἀκαθάρτοις πνεύμασιν, ὃν τρόπον ἐπετίμησας τῷ λεγεῶνι τῶν πνευμάτων, καὶ τῷ κωφῷ, καὶ ἀλάλῳ πνεύματι· καὶ καθάρισον τὸ πλάσμα σου, καὶ μὴ παραδῷς τοῖς θηρίοις ψυχὴν ἐξομολογουμένην σοι. ἀλλ' ἐλέησον αὐτὴν καὶ ἡμᾶς, εἰς δόξαν καὶ ἔπαινον τῆς ἁγίας σου Ἐκκλησίας. διὰ τοῦ μονογενοῦς σου Υἱοῦ, δι' οὗ, καὶ μεθ' οὗ σοι ἡ δόξα τῷ Πρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνι. καὶ τὰ ἑξῆς.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

## ΕΥΧΗ ΕΙΣ ΤΑ ΒΑΙΑ.

Τοῦ Διακόνου λέγοντος. Τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε.

Ὁ Ἱερεὺς ἐπεύχεται.

Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ διὰ τῆς Κιβωτοῦ τὸν τύπον τῆς Ἐκκλησίας ὑποδείξας ἐπὶ τοῦ δικαίου καὶ θεράποντός σου Νῶε, καὶ τὴν τοῦ παναγίου Πνεύματος παρουσίαν διὰ τῆς περιστερᾶς καταμηνύσας τὸ κάρφος τῆς Ἐλαίας φορούσης. τοῦτον τρόπον Ἑβραίων παῖδες ἐπλήρωσαν, καὶ μετὰ κλάδων Ἐλαιῶν, καὶ Βαΐων ὑπήντησαν λέγοντες. Ὡσαννὰ ἐν τοῖς ὑψίστοις. ταύτην σοι τὴν φωνὴν καὶ ἡμεῖς κράζομεν. Ὡσαννὰ εὐλογημένος ὁ ἐρχόμενος σὺν Πατρὶ, καὶ ἁγίῳ Πνεύματι νῦν καὶ ἀεί.

## Ε Υ Χ Η.

### Ἐπὶ ἐνάρξει Λιτῆς.

Κύριε ὁ Θεὸς ἡμῶν, μνήσθητι ἡμῶν τῶν ἁμαρτωλῶν, καὶ ἀχρείων δούλων σου, ἐν τῷ ἐπικαλεῖσθαι ἡμᾶς τὸ ἅγιον, καὶ προσκυνητὸν ὄνομά σου, καὶ μὴ καταισχύνῃς ἡμᾶς ἀπὸ τῆς προσδοκίας τοῦ ἐλέους σου. ἀλλὰ χάρισαι ἡμῖν Κύριε πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα. καὶ ἀξίωσον ἡμᾶς ἀγαπᾶν, καὶ φοβεῖσθαί σε ἐξ ὅλης καρδίας ἡμῶν, καὶ ποιεῖν ἐν πᾶσι τὸ θέλημά σου. Ἐκφώνως.

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι. νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἰρήνη πᾶσι. Ἀπόκρισις. Καὶ τῷ Πνεύματί σου.

Ὁ Διάκονος. Τὰς κεφαλὰς τῷ Κυρίῳ κλίνατε. Ἀπόκρ. Σοὶ Κύριε.

Ὁ Ἱερεὺς εὔχεται.

Κύριε ἅγιε ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τῷ παντεφόρῳ σου ὄμματι ἐπιβλέπων ἐπὶ πᾶσαν τὴν κτίσιν. σοὶ ἐκλίναμεν τὸν αὐχένα τῆς καρδίας, καὶ τοῦ σώματος. καὶ δεόμεθά σου, ἔκτεινον τὴν χεῖρά σου τὴν ἀόρατον ἐξ ἁγίου κατοικητηρίου σου, καὶ εὐλόγησον πάντας ἡμᾶς, καὶ εἴ τι ἡμάρτομεν ἑκουσίως καὶ ἀκουσίως, ὡς ἀγαθὸς καὶ φιλάν-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

θρωπος Θεὸς συγχώρησον, δωρούμενος ἡμῖν καὶ τὰ ἐγκόσμια ἀγαθά σου. Ἐκφώνως.

Σὸν γάρ ἐστι τὸ ἐλεεῖν, καὶ σώζειν ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν. τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι. νῦν ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ ΕΚΤΕΝΗΣ ΓΙΝΟΜΕΝΗ ΕΝ ΤΩ ΦΟΡΩ.

Κύριε ὁ Θεὸς ἡμῶν τὴν ἐκτενῆ ταύτην ἱκεσίαν πρόσδεξαι παρὰ τῶν σῶν δούλων, καὶ ἐλέησον ἡμᾶς κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου, καὶ τοὺς οἰκτιρμούς σου κατάπεμψον ἐφ' ἡμᾶς, καὶ ἐπὶ πάντα τὸν λαόν σου τὸν ἀπεκδεχόμενον τὸ παρὰ σοῦ πλούσιον ἔλεος. Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν. τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι. νῦν.

Εἰρήνη πᾶσι. Ἀπόκρισις. Καὶ τῷ Πνεύματί σου.

Τὰς Κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε. Ἀποκρ. Σοὶ Κύριε.

Ὁ Ἱερεὺς ἐπεύχεται.

Κύριε ὁ Θεὸς ἡμῶν ὁ καθήμενος ἐπὶ θρόνου δόξης, καὶ ἐπιβλέπων ἀβύσσους ὄμματι εὐσπλάγχνῳ τὴν ταπείνωσιν ἡμῶν ἐπισκεπτόμενος, εὐλόγησον πάντας ἡμᾶς τοὺς ὑποκεκλικότας σοι τὰς ἑαυτῶν κεφαλὰς, καὶ ὕψωσον τὸ κέρας ἡμῶν ἐν τῇ εὐδοκίᾳ σου. Εἴη τὸ πανάγιον ὄνομα τῆς φιλανθρωπίας σου εὐλογημένον, καὶ δεδοξασμένον, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ

**Λεγομένη ἐν Λιτῇ γινομένη διὰ φόβον εἰς τὸν κάμπον εἰς τὸν ἅγιον Διομήδην ἔξω πόρτα, καὶ εἰς τὴν παλαιὰν Πέτραν.**

Πάλιν σοι Κύριε τοῦ φιλανθρώπου δεσπότου μνήμη παιδείας, πάλιν ἀχρείων δούλων σου συγχωρήσεως δέησις γινωσκόντων, ὡς ὅσον ὑπερβάλλεις τῷ μεγέθει, τοσοῦτον καὶ τῇ ἀμνησικακίᾳ εὐσπλαγχνίᾳ. διὸ δεόμεθά σου, ἐπίστρεψον ἡμᾶς ὁ Θεὸς, ὁ Θεὸς τῶν σωτηρίων ἡμῶν, καὶ ἀπόστρεψον τὸν θυμόν σου ἀφ' ἡμῶν, ὅπως μὴ εἰς τὸν αἰῶνα ὀργισθῇς ἡμῖν, ἀλλ' ἐν τῷ ἐλέει σου ζωώσῃς ἡμᾶς, καὶ ταχὺ προκατα-

ταλα-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ταλαβέτωσαν ἡμᾶς οἱ οἰκτιρμοί σου Κύριε. Ἐκφώνως.
Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν.

## ΤΑ'ΞΙΣ ΓΙΝΟΜΕ'ΝΗ

Ἐν τῷ Τριβουναλίῳ ἐν ταῖς κατὰ ἔθος ἀποδεχομέναις ἑκάστε λιταῖς.

Μετὰ τὸ ἀνελθεῖν τὸν Ἀρχιεπίσκοπον, καὶ δοξάσαι τοὺς Ψάλτας, δέξασθαι δὲ καὶ τὸν Λαὸν, καὶ πληρῶσαι τὴν λεγομένην Λιτὴν, λέγοντος τοῦ Ἀρχιδιακόνου. Πρόσχωμεν, λέγει ὁ Πατριάρχης.

Ὑπὲρ τῆς οἰκουμενικῆς καταστάσεως καὶ εὐσταθείας τῆς ἁγίας Ἐκκλησίας, καὶ τῆς τῶν πάντων ἑνώσεως, εἴπωμεν. Κύριε ἐλέησον.

Καὶ τοῦ λαοῦ τρίτον λέγοντος τὸ, Κύριε ἐλέησον. Ἄρχεται πάλιν.

Ὑπὲρ τῶν εὐσεβεστάτων ἡμῶν Βασιλέων, παντὸς τοῦ παλατίου, καὶ τοῦ στρατοπέδου αὐτῶν εἴπωμεν παντές. Κύριε ἐλέησον.

Ὑπὲρ τοῦ ἄσειστον, καὶ ἄφλεκτον, καὶ ἀναίμακτον διαφυλαχθῆναι τὴν Πόλιν ταύτην, καὶ πᾶσαν Πόλιν καὶ Χώραν, εἴπωμεν. Κύριε ἐλέησον.

Καὶ τοῦ λαοῦ λέγοντος τὸ, Κύριε ἐλέησον, τρίτον. σφραγίζει τρίτον, καὶ ἐκφώνως λέγει.

Ὅτι ὁ Θεὸς ἐλέους, καὶ οἰκτιρμῶν, καὶ φιλανθρωπίας ὑπάρχεις. καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν.

Καὶ μετὰ τὸ, Ἀμὴν, κάθηται ἐν τῷ θρόνῳ, καὶ τοῦ Διακόνου λέγοντος. Σοφία. λέγεται τὸ προκείμενον. καὶ μετὰ τὸ, Ἀλληλούϊα, λέγοντος τοῦ Ἀρχιδιακόνου. Ὀρθοὶ ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου. Σφραγίζει τρίτον, καὶ λέγει.

Εἰρήνη πᾶσι. Ὁ λαός. Καὶ τῷ Πνεύματί σου.

Εἶτα ἐκφωνεῖ. Ἐκ τοῦ κατὰ Ματθαῖον. Ὁ Ἀρχιδιάκονος. Ἐν Σοφίᾳ πρόσχωμεν.

Καὶ οὕτως ἀρχόμενος συναναγινώσκει τῷ Διακόνῳ πᾶσαν τὴν περιοχὴν τοῦ Εὐαγγελίου.

Καὶ μετὰ τὴν ἐκτενῆ, σφραγίζει πάλιν κατὰ τὸ ἔθος, καὶ λέγει.
Ὅτι ἐλεήμων, καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις. καὶ σοὶ τὴν δόξαν.
Ὁ διάκονος. Τὰς Κεφαλὰς τῷ Κυρίῳ κλίνατε.
Ἀπόκρ. Σοὶ Κύριε.

Καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Καὶ ποιεῖ τὴν εὐχὴν τῆς κεφαλοκλισίας. Καὶ τοῦ Διακόνου κυριεύοντος τὴν ἐν τῷ ἁγίῳ Ἰωάννῃ σύναξιν, ἀπέρχεται ἐκεῖ, καὶ ποιεῖ λειτουργίαν.

## ΕΥΧΗ

### Ἐπὶ Λιτῇ ἐν ἡμέρᾳ ἑορτῆς.

Ὁ Θεὸς καὶ πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ ὢν εὐλογητὸς εἰς αἰῶνας, ὁ ἐξαποστείλας τὸν μονογενῆ σου Υἱὸν εἰς τὸν κόσμον, ἵνα τὸ πεπλανημένον ἐπιστρέψῃ, τὸ πεπτωκὸς ἀναστήσῃ, καὶ τὸ τεθανατωμένον ζωοποιήσῃ, πρόσδεξαι ἡμᾶς τοὺς ἀναξίους δούλους σου, σὺν τῷ πιστῷ σου λαῷ, ἑορτάζοντάς σοι πνευματικῶς, καὶ τὴν ἐν ψαλμοῖς καὶ ὕμνοις δοξολογίαν σοι προσάγοντας ἐπὶ τῇ γενομένῃ σωτηρίῳ σου χάριτι, καὶ εὐδοκίᾳ τῷ γένει τῶν ἀνθρώπων. καταξίωσον ἡμᾶς καὶ τὴν ἀναίμακτον θυσίαν ἀκατακρίτως προσαγαγεῖν σοι. ἵνα μέτοχοι γενώμεθα ἐν τῇ Ἐκκλησίᾳ τῶν πρωτοτόκων ἀπογεγραμμένων ἐν οὐρανοῖς τοῦ ἤχου τῶν ἑορταζόντων, ἔνθεν πάντων τῶν εὐφραινομένων ἡ κατοικία ἐν σοί, πρεσβείαις τῆς ἁγίας Θεοτόκου, καὶ πάντων τῶν ἁγίων σου. Ἐκφώνως.

Ὅτι ἀγαθὸς, καὶ τὰ ἑξῆς.

Ὁ Ἱερεύς. Εἰρήνη πᾶσι.

Ὁ Διάκονος. Τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε.

Δέσποτα Κύριε κλῖνον τὰς καρδίας ἡμῶν εἰς ὑπακοὴν τῶν θείων σου προσταγμάτων. ἵνα εὐθυπορούντες ἐν τῇ τρίβῳ τῶν ἐντολῶν σου, καὶ τὴν προκειμένην ἡμῖν τοῦ βίου ὁδὸν ἀπροσκόπως διανύσαντες, ἀποδόσωμέν σοι τὰς εὐχὰς ἡμῶν δεκτὰς εἰς τὸ ἅγιον ἐπουράνιον, καὶ νοερόν σου Θυσιαστήριον. Ὅτι ηὐλόγηται, καὶ δεδόξασται, καὶ τὰ ἑξῆς.

## ΕΥΧΗ

### Εἰς τὴν ὕψωσιν τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, ποίημα τοῦ ἁγιωτάτου Πατριάρχου Καλλίστου.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὸν μονογενῆ σου Υἱὸν ἐξαποστεῖλαι καταδεξάμενος καταδεξάμενον πάντα παθεῖν διὰ τὴν τοῦ γένους ἡμῶν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἡμῶν σωτηρίαν, καὶ Σταυρὸν καὶ θάνατον ὑπομεῖναι ἐποίησας, ἵνα τῆς τοῦ θανάτου πικρᾶς ἡμᾶς τυραννίδος ἐλευθερώσῃ, ὑψώσῃ δὲ πάντας εἰς ἑαυτὸν διὰ τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ προσκυνήσεως, τοῦ ἀμάχου ὅπλου, καὶ ἀηττήτου. σοῦ δεόμεθα, καὶ σὲ παρακαλοῦμεν τὸν πατέρα τοῦ ἐνυποστάτου, καὶ συναϊδίου, καὶ συνδοξασμένου Λόγου, ὡς ἂν διὰ τοῦ τοιούτου ζωοποιοῦ Σταυροῦ εἰς μίαν συνάψῃς ὁμόνοιαν τὸ τῶν Χριστιανῶν γένος, δωρούμενος τοῖς εὐσεβέσι, καὶ φιλοχρίστοις Βασιλεῦσι τρόπαια καὶ νίκας, οὐ μόνον κατὰ τῶν ἀοράτων ἐχθρῶν, ἀλλὰ καὶ κατὰ τῶν ὁρωμένων, καὶ ἀντικαθισταμένων τῷ κράτει τῆς Βασιλείας αὐτῶν. δι' αὐτοῦ γὰρ ὁ ᾅδης ἐσκύλευται, πύλαι τοῦ παραδείσου ἠνοίχθησαν, ἡ πρὸς Οὐρανοὺς ἄνοδος ἡμῶν γέγονε. δι' αὐτοῦ τῆς δεξιᾶς τοῦ ὑψίστου παραστάσεως τυχεῖν ἐλπίζομεν. δι' αὐτοῦ ὁ αἰθὴρ ἡγιάσθη, ἡ κτίσις ἀνεκαινίσθη, τὰ οὐράνια πάντα καὶ ἐπίγεια εἰς μίαν συνήφθησαν Ἐκκλησίαν. δι' αὐτοῦ Βασιλεῖς βασιλεύουσι. δι' αὐτοῦ Μαρτύρων χορὸς, Ἀρχιερέων ὁμήγυρις, Μοναζόντων δόξα, Ἱερέων εὐπρέπεια, Γυναικῶν σεμνότης, καὶ πάνθ' ὅσα τοιαῦτα δι' αὐτοῦ κατορθοῦνται, καὶ τῆς αὐτοῦ προσκυνήσεως. ναὶ Κύριε ὁ Θεὸς ἡμῶν, ὁ Πατὴρ τῶν Οἰκτιρμῶν, ἡ τοῦ ἐλέους πηγὴ, καὶ τῆς φιλανθρωπίας ἀνεξιχνίαστος ἄβυσσος, ἐπάκουσόν μου τοῦ ἁμαρτωλοῦ καὶ ἀναξίου δούλου σου ἐν τῇ ὥρᾳ ταύτῃ, καὶ στῆσον ἐπεκτεινομένην ἤδη ῥάβδον τῶν ἁμαρτωλῶν κατὰ τοῦ κλήρου τῶν δικαίων, καὶ τῆς μερίδος τῆς ἐπιθυμητῆς κληρονομίας σου, καὶ μὴ παραδώῃς ἡμᾶς εἰς τέλος διὰ τὸ ὄνομά σου τὸ ἅγιον. ἀλλὰ δώρησαι τῷ φιλοχρίστῳ Βασιλεῖ ἡμῶν ἄφεσιν τῶν κατεχόντων αὐτὸν ἀνιαρῶν, καὶ ἀπαλλαγὴν τῶν ἐπεχουσῶν συμφορῶν καὶ θορύβων, καὶ στάσεων. ἐνίσχυσον αὐτοῦ τὸν βραχίονα, κράτυνον τῆς γῆς αὐτοῦ τὰ χοινίσματα, καὶ τοὺς ἐπανισταμένους αὐτῷ ὑπόταξον ὑπὸ τοὺς πόδας αὐτοῦ. ἀγγελικαῖς παρεμβολαῖς αὐτὸν περιφρούρησον, χάρισον αὐτῷ τὴν βαθεῖαν καὶ ἀναφαίρετον εἰρήνην. ἵνα καὶ ἡμεῖς τὰς ἐπιγινομένας μάχας, καὶ θορύβους ἀποσεισάμενοι, ἤρεμον καὶ ἥσυχον βίον διάγωμεν ἐν πάσῃ εὐλαβείᾳ καὶ σεμνότητι, ἐν ἑνὶ στόματι, καὶ μιᾷ καρδίᾳ δοξάζοντες, καὶ εὐλογοῦντες σε τὸν μόνον ἀληθινὸν Θεὸν ἡμῶν. δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ. πρεσβείαις τῆς ὑπερευλογημένης Θεοτόκου καὶ πάντων τῶν ἁγίων. Ἀμήν.

ΕΥ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΕΥΧΗ ΓΙΝΟΜΕΝΗ ΕΝ ΤΩ ΔΡΟΜΩΝΙ ΥΠΟ ΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ.

Μετὰ τὸ ῥηθῆναι τὸν ρκ΄. ψαλμὸν, λέγεται.

Τοῦ Κυρίου δεηθῶμεν.

Δέσποτα Κύριε, ὁ καταξιώσας συμπλεῦσαι τοῖς ἁγίοις Μαθηταῖς, καὶ Ἀποστόλοις σου, καὶ ἐπιτιμήσας τῇ λαίλαπι τῶν ἀνέμων, καὶ τῆς θαλάσσης γαλήνην τὰ κύματα κελεύσας, σύμπλευσον καὶ τοῖς ἐκδημοῦσιν ἐν τῷ πλοίῳ τούτῳ, πάντα ἐναντίον ἄνεμον καταπραΰνων. διέγειρον δὲ ἐπιτηδείους ἀνέμους, κυβερνήτης αὐτοῖς πανταχοῦ γενόμενος, πᾶσαν πειρατηρίων τῶν ἐξ αὐτοῦ ἐπιστρέφων ἐπιβουλήν. χαίροντας χαίρουσιν ἡμῖν ἐνταῦθα ἐπανελθεῖν εὐδόκησον αἰσίως, καὶ κατὰ πρόθεσιν πράττοντας τὰ ἐπιτηδευόμενα παρ' αὐτῶν, χάριν τὴν σὴν δωρούμενος ἐν πᾶσι τοῖς ἔργοις αὐτῶν, σωτήριος, καὶ εὔδιος λιμὴν τοῖς πλέουσι, καὶ τῷ πλοίῳ ἀνελκόμενος. Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἐκφώνησις.

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι. νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων

Καὶ μετὰ τὸ, Ἀμὴν, σφραγίζει τὴν θάλασσαν, καὶ οὕτω κάθηται. ἡ τοιαύτη εὐχὴ λέγεται καὶ ἐπὶ πλοίου μέλλοντος πλεῖν.

# ΕΥΧΗ ΕΠΙ ΧΕΛΑΝΔΙΩ ΑΠΟΣΤΕΛΛΟΜΕΝΩ,

Κατὰ Πόλεως.

Τοῦ Διακόνου λέγοντος. Τοῦ Κυρίου δεηθῶμεν.

Εὐχή.

Ὁ Θεὸς ὁ Θεὸς ἡμῶν, ὁ διὰ θαλάσσης περιζώσας ὡς ἐπὶ ξηρᾶς, καὶ τοὺς ἁγίους σου μαθητὰς ἐκ τῆς ταραχῆς αὐτῆς ἐλευθερώσας τῇ παρουσίᾳ σου. αὐτὸς καὶ νῦν Δέσποτα, σύμπλευσον ταῖς ἀποστελλομέναις Ναυσὶ κατὰ τῶν ἐχθρῶν σου, καὶ πραεῖς καὶ εὐμενεῖς τοὺς ἀνέμους

ἐπιπέμπων, καὶ λειοκύμονα παρέχων τὴν θάλασσαν. δὸς ἀριστεῦσαι καὶ τοὺς συμπλέοντας, καθ' ὧν ἐξεπέμφθησαν βλασφημούντων σε τὸν ἀληθῆ καὶ μόνον Θεόν, καὶ τὴν σὴν ἁρμυμένων οἰκονομίαν. θαυμάστωσον καὶ νῦν τὰ ἐλέη σου, συστρατηγῶν ἀεί, καὶ συλλαμβανόμενος ἡμῖν τοῖς εἰς σὲ πεποιθόσι, καὶ τὴν ἐκ σοῦ ἀπεκδεχομένοις βοήθειαν. Ὅτι σὺ εἶ αἴτιος τῆς εἰρήνης, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν.

## ΕΥΧΗ

Γινομένη ἐν τῷ μεγάλῳ Σεκρέτῳ ἀπιόντος τοῦ Πατριάρχου πρὸς ὁδοιπορίαν, ἢ καὶ ἐπανιόντος.

Ἡ Ὁδὸς τῆς δικαιοσύνης Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐπίστρεψον ἡμᾶς πρὸς σέ, καὶ γενοῦ ἡμῖν εἰς Θεὸν ὑπερασπιστήν, καὶ εἰς οἶκον καταφυγῆς τοῦ σῶσαι ἡμᾶς. Ὅτι σὺ εἶ ἡ σωτηρία ἡμῶν. καὶ σοὶ τὴν δόξαν.

## ΕΥΧΗ

Ἐπὶ ἀποστάντι ἐκ παιδόθεν, ἤγουν μαγαρίσαντι, καὶ μετανοοῦντι.

Κύριε ὁ Θεὸς ἡμῶν ὁ Παντοκράτωρ, ὁ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ θέλων πάντας ἀνθρώπους σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. ὁ διὰ τὸ ἀπολωλὸς πρόβατον, τὸν μονογενῆ σου Υἱὸν ἐξαποστείλας εἰς τὸν Κόσμον Σωτῆρα, καὶ Λυτρωτήν, ἵνα τὴν σὴν ἀναζητήσῃ, καὶ ἀνασώσῃ εἰκόνα, σοῦ δεόμεθα, καὶ σὲ παρακαλοῦμεν, πρόσδεξαι τὸν δοῦλόν σου (τόνδε) τοῖς οἰκτιρμοῖς σου προστρέχοντα. καὶ τυχόντα μὲν ἐκ παιδὸς τῆς ὀρθοδόξου Πίστεως, τῆς πρὸς σέ, διὰ τοῦ ἁγίου σου Βαπτίσματος, ἐκπεσόντα δὲ ταύτης διὰ νηπιότητος, ἢ τινα ἄλλην περιπέτειαν, ἐπιστρέφοντα δὲ νῦν, καὶ διὰ μετανοίας, καὶ ἐπιγνώσεως πρὸς τὴν σὴν παλινδρομοῦντα χρηστότητα. ἔκχεον ἐπ' αὐτὸν τῆς σῆς φιλανθρωπίας τὴν εὐσπλαγχνίαν. πρόσδεξαι αὐτὸν ὡς τὸν Ἄσωτον πρὸς σὲ τὸν Θεόν, καὶ Πατέρα ἐπανακάμπτοντα. ἀπόστησον ἀπ' αὐτοῦ πᾶσαν πλάνην, καὶ ἐπίνοιαν τοῦ ἐχθροῦ. σύνταξον αὐτὸν τῇ τῶν λογικῶν σου προβάτων ἁγίᾳ ποίμνῃ. κόσμησον αὐτὸν καὶ νῦν τῇ δόξῃ τοῦ παναγίου ὀνόματος τοῦ Χριστοῦ σου. μέτοχον ἀνάδειξον σὺν πᾶσι πιστοῖς τῶν ἁγιασμάτων σου τῶν ἀχράντων,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

των, εἰς ἄφεσιν μὲν τῶν προγεγονότων σφαλμάτων αὐτοῦ, ἀσφάλειαν δὲ τοῦ μέλλοντος, καὶ φυλακὴν τῆς ψυχῆς, καὶ τοῦ σώματος. δὸς αὐτῷ ἐν παντὶ καιρῷ, καὶ τόπῳ πρὸς σὲ καταφεύγειν, σχολάζειν ταῖς Ἐκκλησίαις σου, καὶ τὰ εὐάρεστά σοι ἐπιτελεῖν. ἵνα καὶ κληρονόμος δι' ἀγαθοεργίας ἀναφανῇ τῆς ἐπουρανίου Βασιλείας, ἧς καὶ ἡμᾶς ἀξίωσον σὺν αὐτῷ. Χάριτι καὶ οἰκτιρμοῖς τοῦ Χριστοῦ σου, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι. νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Ἱερεύς. Εἰρήνη πᾶσι.

Ὁ Διάκονος. Τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε.

Ὁ Ἱερεὺς τὴν εὐχήν.

Ὁ Κλίνας οὐρανοὺς, καὶ καταβὰς ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων, ὁ διὰ τοῦ τιμίου σου Σταυροῦ τῆς κατάρας καὶ τῆς φθορᾶς λυτρωσάμενος ἡμᾶς, καὶ πρὸς τὴν αἰωνίαν καὶ μακαρίαν ζωὴν ἐπαναγαγών. αὐτὸς φιλάνθρωπε Κύριε, ὁ εἰπών. ὅτι μεγάλη χαρὰ γίνεται ἐν Οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ ἐπιστρέφοντι, πρόσδεξαι τὸ ἀπολωλός σου πρόβατον, καὶ νῦν πρός σε τὸν Θεὸν ἡμῶν ἐπιστρέφοντα, καὶ τὴν σὴν ἐπιζητοῦντα εὐσπλαγχνίαν, καὶ ὡς ποιμὴν τῶν ψυχῶν ἡμῶν καλὸς τοῦτο διασώσας, καὶ ῥυσάμενος ἔνωσον τῇ ἁγίᾳ ποίμνῃ τῶν ἁγίων καὶ λογικῶν σου προβάτων, διδοὺς αὐτῷ διὰ τῆς χάριτος καὶ ἐπιφοιτήσεως τοῦ παναγίου σου Πνεύματος δύναμιν καὶ ἰσχὺν κατὰ τοῦ ἐχθροῦ. ὥστε πατεῖν ἐπὶ πᾶσαν τὴν δύναμιν αὐτοῦ, καὶ συντρίβειν αὐτὴν, καὶ τειχίζεσθαι τῇ δόξῃ καὶ τῇ χάριτι τοῦ παναγίου σου ὀνόματος, τοῦ ἐπικεκλημένου ἐφ' ἡμᾶς τοὺς ἁμαρτωλοὺς οἰκέτας σου. Σὺ γὰρ εἶ ὁ Θεὸς ἡμῶν, ὁ Θεὸς τοῦ ἐλεεῖν, καὶ σώζειν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν. τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι. νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Καὶ χρίει αὐτὸν ὁ Ἱερεὺς τὸ ἅγιον Μύρον. καὶ λέγει τὴν εὐχὴν ταύτην.

Κύριε ὁ Θεὸς ἡμῶν ὁ παντοκράτωρ, ὁ τὸ ἅγιόν σου Πνεῦμα καταπεμψάμενος ἐπὶ τοὺς ἁγίους σου Ἀποστόλους, καὶ τῆς αὐτοῦ δυνάμεως καὶ χάριτος ἐμπλήσας αὐτοὺς, ὁ καὶ τὸν δοῦλόν σου τὸν (δεῖνα) ἐκ σκότους καὶ ἐκ πλάνης ἐπιστρέψας, καὶ πρὸς τὸ θαυμαστόν σου καὶ ἀΐδιον φῶς ὁδηγήσας, καὶ τῷ πιστῷ σου λαῷ, καὶ τῇ ἁγίᾳ σου Ἐκκλησίᾳ συγκαταριθμήσας, καὶ καταξιώσας αὐτὸν τῆς εὐωδίας καὶ τοῦ ἁγίου σου Πνεύματος. αὐτὸς Δέσποτα, φύλαξον αὐτὸν ἐν τῷ σῷ ἁγια-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γιασμῷ, ἀνάδειξον αὐτὸν σκεῦος ἐκλογῆς, ἐν ἀρεταῖς κατακόσμησον αὐτόν. καὶ δὸς αὐτῷ πάντοτε κατὰ τὸ θέλημά σου πορεύεσθαι, καὶ καταξίωσον αὐτὸν σὺν ἡμῖν ἐν ἀπολαύσει γενέσθαι τῆς ἐπουρανίου σου καὶ μυστικῆς τραπέζης, καὶ μεταλαβεῖν τῶν ἁγίων, καὶ ἀχράντων, καὶ ζωοποιῶν Μυστηρίων τοῦ μονογενοῦς σου Υἱοῦ, Κυρίου δὲ καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. ἵνα τὸν καλὸν ἀγῶνα ἀγωνισάμενος, καὶ τὸν θεῖον δρόμον τελέσας, καὶ τὴν εἰς σὲ πίστιν ὀρθοδόξως τηρήσας, τύχῃ τοῦ στεφάνου τῆς δόξης, καὶ τῶν αἰωνίων ἀγαθῶν, ὧν ἡτοίμασας ὁ Θεὸς τοῖς ἀγαπῶσί σε. χάριτι τοῦ Χριστοῦ σου, μεθ' οὗ σοι πρέπει δόξα, τιμή, καὶ προσκύνησις, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# ἘΚ ΤΟΥ͂ ΕΥ̓ΧΟΛΟΓΊΟΥ ΤΟΥ͂ ΠΑΤΡΙΑΡΧΙΚΟΥ͂.

## Ὅπως δεῖ δέχεσθαι τοὺς ἀπὸ αἱρέσεων μετερχομένους ἐν τῇ ἁγίᾳ τοῦ Θεοῦ καθολικῇ καὶ ἀποστολικῇ Ἐκκλησίᾳ.

Ἀρειανοὺς μὲν καὶ Μακεδονιανούς, ἤγουν Πνευματομάχους, καὶ Σαββατιανούς, λέγοντας ἑαυτοὺς καθαρούς, Τεσσαρεσκαιδεκατίτας, ἤγουν Τετραδίτας, καὶ Ἀπολλιναριστάς, δεχόμεθα διδόντας λιβέλλους, καὶ ἀναθεματίζοντας σὺν τῇ ἰδίᾳ αἱρέσει, πᾶσαν ἄλλην αἵρεσιν μὴ φρονοῦσαν, ὡς φρονεῖ ἡ ἁγία τοῦ Θεοῦ καθολικὴ καὶ ἀποστολικὴ Ἐκκλησία. προηγουμένως μέντοι, ἡνίκα μέλλουσι προσάγεσθαι τῇ ὀρθῇ πίστει, μηστεύειν αὐτοὺς δεῖ ἡμέρας δέκα, ἢ δεκαπέντε, καὶ σχολάζειν ταῖς εὐχαῖς, πρωΐας καὶ δείλης, μανθάνοντας ψαλμούς, ὡς κατηχουμένους, καὶ τότε ἀξιοῦσθαι τῆς ὀρθοδόξου πίστεως. ἵστησι δὲ ἕκαστον αὐτῶν ὁ Γερεὺς ἔμπροσθεν τῆς ἁγίας κολυμβήθρας, καὶ λέγει αὐτοῖς τοῦτο.

Εἰπὲ ἀνάθεμα τῷδε, καὶ τοῖς δόγμασιν αὐτοῦ, καὶ τοῖς συνδοκοῦσιν αὐτῷ, καὶ τοῖς φρονοῦσι τὰ αὐτοῦ. ἀποτάσσομαι γὰρ αὐτῷ, καὶ παντὶ αἱρετικῷ δόγματι. καὶ πιστεύω εἰς τὴν ἁγίαν καὶ ὁμοούσιον Τριάδα, κατὰ τὴν ἔκθεσιν τῶν ἁγίων Πατέρων τῶν ὀρθοτομησάντων λόγον τῆς ἀληθείας.

Καὶ ἀποκρίνεται πρὸς ἕκαστα ὁ μετερχόμενος, καὶ λοιπὸν ἐρωτᾷ αὐτὸν τρίτον ὁ Γερεύς.

Πιστεύεις εἰς τὴν ἁγίαν ὁμοούσιον Τριάδα; Καὶ ἀποκρίνεται. Πιστεύω.

Καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Καὶ ἐπικλίναντος τοῦ μετερχομένου τὴν κεφαλὴν, ποιεῖ ὁ Ἱερεὺς εὐχήν.

Ὁ Θεὸς ὁ σωτὴρ ἡμῶν, ὁ βουλόμενος πάντας ἀνθρώπους σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, πρόσδεξαι τὸν δοῦλόν σου (τόνδε,) τὸν μόλις ἀνανήψαντα ἐκ τῆς πλάνης, καὶ ἐπιποθήσαντα εἰς τὴν ἐπίγνωσιν ἐλθεῖν τῆς ἀληθείας. σὺ γὰρ εἶπας Κύριε, καὶ ἄλλα πρόβατα ἔχω, ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης, κἀκεῖνά με δεῖ ἄγειν, καὶ τῆς φωνῆς μου ἀκούσουσι, καὶ γενήσεται μία ποίμνη, καὶ εἷς ποιμήν. ποίμανον τοίνυν αὐτὸν ἐν τῇ δόξῃ σου, εἰς ἐπίγνωσιν ἀληθείας, κατὰ τὴν ἔκθεσιν τῶν ἁγίων σου καὶ ἐνδόξων Ἀποστόλων, καὶ καταξίωσον αὐτὸν τῆς σφραγῖδος τοῦ θείου Μύρου, καὶ τῆς μεταλήψεως τοῦ τιμίου σου Σώματος, καὶ Αἵματος, καὶ ἀνάδειξον αὐτὸν τέλειον δοῦλόν σου. ἵνα τῇ ποίμνῃ σου ἐγκαταριθμηθῇ καὶ αὐτὸς, εἰς δόξαν καὶ ἔπαινον τῆς μεγαλωσύνης σου. Ἐκφώνως.

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρός.

Καὶ χρίει αὐτὸν τῷ Μύρῳ, καθὼς καὶ τοὺς Νεοφωτίστους, τὴν αὐτὴν ἐπίρρησιν καὶ ἐπ' αὐτῷ ποιούμενος, καὶ μετὰ τοῦτο πάλιν εὔχεται.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καταξιώσας τέλειον ἀναδεῖξαι τὸν δοῦλόν σου (τόνδε) διὰ τῆς εἰς σὲ ὀρθοδόξου πίστεως, καὶ τῆς σφραγῖδος τοῦ Μύρου σου τοῦ ἁγίου, σὺ Δέσποτα τῶν ἁπάντων, τὴν εἰς σὲ ἀληθῆ πίστιν ἐν αὐτῷ διατήρησον, αὔξον αὐτὸν ἐν δικαιοσύνῃ, καὶ πᾶσι τοῖς παρὰ σοῦ χαρίσμασι κατακόσμησον.

Εἶθ' οὕτως κοινωνεῖ, καὶ λαμβάνει παραγγελίαν ταῖς ἑπτὰ ἡμέραις ἐκείναις κρέας μὴ φαγεῖν, μηδὲ νίψασθαι τὴν ὄψιν, ἀλλὰ καθὼς οἱ βαπτιζόμενοι, οὕτω διατελεῖν, καὶ τῇ ὀγδόῃ ἡμέρᾳ ἀπολούεται.

Νεστοριανοὺς δὲ, καὶ Εὐτυχιανιστὰς, χρὴ ποιεῖν Λιβέλλους, καὶ ἀναθεματίζειν τὴν αὐτῶν αἵρεσιν, καὶ Νεστόριον, καὶ Εὐτυχέα, καὶ Διόσκορον, καὶ τοὺς φρονοῦντας τὰ αὐτῶν, καὶ πάσας τὰς προαναφερομένας αἱρέσεις, καὶ μεταλαμβάνειν τῆς ἁγίας κοινωνίας.

Εὐνομιανοὺς μέντοι τοὺς εἰς μίαν κατάδυσιν βαπτιζομένους, καὶ Μοντανιστὰς, τοὺς λεγομένους Φρύγας, καὶ Μανιχαίους, καὶ Σαβελλιανοὺς τοὺς υἱοπατορίαν διδάσκοντας, καὶ ἕτερά τινα χαλεπὰ ποιοῦντας, καὶ πάσας τὰς τοιαύτας αἱρέσεις, ἤγουν τοὺς ἀπ' αὐτῶν ἐθέλοντας προστίθεσθαι τῇ ἀληθείᾳ, ὡς Ἕλληνας δεχόμεθα, καὶ βαπτίζομεν αὐτούς.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΤΑ'-

# ΤΑΞΙΣ ΓΙΝΟΜΕΝΗ

Ἐπὶ τοῖς ἀπὸ Μανιχαίων ἐπιστρέφουσι πρὸς τὴν καθαρὰν, καὶ ἀληθινὴν πίστιν ἡμῶν τῶν χριστιανῶν.

Προηγουμένως μὲν ὁ προσερχόμενος τῇ ὀρθῇ πίστει ὀφείλει νηστεύειν ἑβδομάδας δύο, καὶ σχολάζειν τῇ εὐχῇ πρωΐας, καὶ δειλῆς, διαλαβεῖν τε τὴν ἐν τοῖς ἁγίοις Εὐαγγελίοις παραδοθεῖσαν ἡμῖν ἀπὸ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ προσευχὴν, καὶ τὸ τῆς πίστεως σύμβολον, καί τινας τῶν ψαλμῶν. εἶτα περιτεθέμενος τὴν ἱερατικὴν στολὴν ὁ Ἱερεὺς ἐπὶ τῷ βαπτιστηρίῳ, συμπαρόντων καὶ ἑτέρων πιστῶν ὅσοι βούλωνται, μετακαλεῖται τοῦτον, καὶ ἱστῶν πρὸς τῆς ἁγίας κολυμβήθρας ἀπερικάλυπτον ἔχοντα τὴν κεφαλὴν, φησὶ πρὸς αὐτόν.

Εἰπὲ ἀνάθεμα Μάνεντι τῷ Μανιχαίῳ, ὃς ἐτόλμησεν αὐτὸν παράκλητον ὀνομάσαι καὶ ἀπόστολον Ἰησοῦ Χριστοῦ.

Κἀκείνου συντιθεμένου, καὶ λέγοντος τὰ αὐτὰ ῥήματα, ἢ δι' ἑαυτοῦ, ἢ δι' ἑρμηνέως, ἐὰν αὐτὸς μὴ γραικίζει, ἢ διὰ τοῦ ἀναδόχου αὐτοῦ, εἰ παιδίον ἐστί. πάλιν ὁ Ἱερεὺς ἐπιφέρει τὰ ἀκόλουθα, καὶ γίνεται ἀπόκρισις κατὰ τὸν αὐτὸν τρόπον. καὶ τοῦ ἀναθεματισμοῦ παντὸς πληρουμένου, φησὶν ὁ Διάκονος. Τοῦ Κυρίου δεηθῶμεν. Τὸ, Κύριε ἐλέησον, καὶ κλίνοντος τὴν κεφαλὴν τοῦ ἐπιστρέφοντος, ὁ Ἱερεὺς ἐπ' αὐτῷ ποιεῖ τὴν εὐχὴν ταύτην.

Ὁ Θεὸς ὁ μέγας καὶ μεγαλώνυμος, ὁ τὸ πρὶν σκότος φωτίσας τῷ λόγῳ τοῦ στόματός σου. ὁ τὸν μονογενῆ σου Υἱὸν ἐξαποστείλας εἰς τὸν κόσμον εἰς ἱλασμὸν τῶν ἁμαρτιῶν ἡμῶν. ὁ καθήμενος ἐπὶ τῶν Χερουβὶμ, καὶ δοξαζόμενος ὑπὸ τῶν Σεραφίμ. ᾧ πᾶν γόνυ κάμπτει τῶν ἐπουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται. Βασιλεῦ τῶν αἰώνων, ὁ ἐπισυνάξας τὸ πεπλανημένον πρόβατον εἰς τὴν ποίμνην τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. ὁ ἐπιστρέφων ἁμαρτωλὸν ἐκ πλάνης ὁδοῦ αὐτοῦ. αὐτὸς ἐπίστρεψον καὶ τὸν δοῦλόν σου ἀπὸ τοῦ σκότους τοῦ ἀντικειμένου πρὸς τὸ φῶς τὸ αἰώνιον, ἀνακαλέσας αὐτὸν ἀπὸ τῆς πλάνης τοῦ διαβόλου εἰς τὴν θεογνωσίαν τοῦ μονογενοῦς σου Υἱοῦ. ἑδραίωσον αὐτοῦ τὴν καρδίαν ἐν πίστει, ἐν ἀγάπῃ τοῦ Χριστοῦ σου. μερίδα καὶ κλῆρον αὐτῷ χάρισαι ἐν τῇ ἐκκλησίᾳ σου. Σὺ γὰρ εἶ ὁ Θεὸς ἡμῶν, ἐκτός σου ἄλλον οὐκ οἴδαμεν.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὸ ὄνομά σου ὀνομάζομεν. νῦν πάντοτε, καὶ διὰ πάντων εἶ εὐλογημένος ὁ Θεὸς ἡμῶν, καὶ ὁ μονογενής σου Υἱός, καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον. νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Μετὰ δὲ τό, Ἀμήν, σφραγίζων αὐτὸν ἀπολύει. καὶ λοιπὸν ὁ ἀναθεματίσας γίνεται χριστιανός. ἀλλ' οὐ λογίζεται ὡς χριστιανὸς ἀβάπτιστος, οἷα τυχὸν εἰσὶ τῶν χριστιανῶν τὰ παιδία τὰ μέλλοντα βαπτίζεσθαι.

Τῇ δὲ ἑξῆς ἡμέρᾳ συναριθμεῖται τοῖς κατηχουμένοις. ἀποδυόμενον γὰρ αὐτὸν καὶ ἀπολυόμενον εἰσάγει ὁ Ἱερεύς, καὶ ἵστησιν ἔνδοθεν τῶν τοῦ Ναοῦ πυλῶν κατὰ ἀνατολάς, καὶ ἐμφυσῶν αὐτῷ τρίτον, σφραγίζει τὸ μέτωπον αὐτοῦ, καὶ τὸ στῆθος. καὶ ἐπιθεὶς τὴν χεῖρα αὐτοῦ τῇ κεφαλῇ, λέγει τὴν εὐχὴν ταύτην.

Ἐπὶ τῷ ὀνόματί σου Κύριε ὁ Θεὸς τῆς ἀληθείας, καὶ τοῦ μονογενοῦς σου Υἱοῦ, καὶ τοῦ ἁγίου σου Πνεύματος, ἐπιτίθημι τὴν χεῖρά μου ἐπὶ τὸν δοῦλόν σου (τόνδε,) τὸν καταξιωθέντα φυγεῖν ἐπὶ τὸ ἅγιον ὄνομά σου, καὶ ὑπὸ τὴν σκέπην τῶν πτερύγων σου διαφυλαχθῆναι. ἀπόστησον ἀπ' αὐτοῦ τὴν παλαιὰν ἐκείνην πλάνην, καὶ ἔμπλησον αὐτὸν τῆς εἰς σὲ πίστεως, καὶ ἐλπίδος, καὶ ἀγάπης. ἵνα γνῷ, ὅτι σὺ μόνος Θεὸς ἀληθινός, καὶ ὁ μονογενής σου Υἱός, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, καὶ τὸ ἅγιόν σου Πνεῦμα. δὸς αὐτῷ ἐν πάσαις ταῖς ἐντολαῖς σου πορευθῆναι, καὶ τὰ ἀρεστά σοι φυλάξαι. ὅτι ἐὰν ποιήσῃ αὐτὰ ἄνθρωπος, ζήσεται ἐν αὐτοῖς. γράψον αὐτὸν ἐν βίβλῳ ζωῆς σου. ἕνωσον αὐτὸν τῇ ποίμνῃ τῆς κληρονομίας σου. δοξασθήτω τὸ ὄνομά σου τὸ ἅγιον ἐπ' αὐτῷ, καὶ τοῦ ἀγαπητοῦ σου Υἱοῦ, Κυρίου δὲ ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τοῦ ζωοποιοῦ σου Πνεύματος. ἔστωσαν οἱ ὀφθαλμοί σου ἀτενίζοντες εἰς αὐτὸν ἐν ἐλέει διαπαντός, καὶ τὰ ὦτά σου τοῦ ἀκούειν τῆς φωνῆς τῆς δεήσεως αὐτοῦ. εὔφρανον αὐτὸν ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ, καὶ ἐν παντὶ τῷ γένει αὐτοῦ. ἵνα ἐξομολογήσηταί σοι, προσκυνῶν, καὶ δοξάζων τὸ ὄνομά σου τὸ μέγα καὶ ὕψιστον, καὶ αἰνέσῃ σε διαπαντὸς πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ. Σὲ γὰρ ὑμνεῖ πᾶσα ἡ δύναμις τῶν Οὐρανῶν, καὶ σοῦ ἐστιν ἡ δόξα τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ μετὰ τό, Ἀμήν, σφραγίζων ἀπολύει. Καὶ τὴν ἐπιοῦσαν ἐξορκίζεται. πάλιν γὰρ τοῦτον ἄγων ὁ Ἱερεὺς εἰς τὸν Ναὸν ἐμφυσᾷ τρίτον εἰς τὸ πρόσωπον, καὶ τὰ ὦτα αὐτοῦ, καὶ ἐπιλέγων τῶν ἐξορ-

κισ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κισμῶν τὰς ἀρχὰς, αὖθις σφραγίζει, καὶ ἀπολύει. Καὶ οὕτω πάλιν κατηχούμενος, εἴτ' οὖν διδασκόμενος, κομίζει εἰς τὴν ἐκκλησίαν, καὶ ἀκροᾶται τῶν γραφῶν. εἶτα τελουμένων πάντων τῶν πρὸ τοῦ Βαπτίσματι νενομισμένων, ἀξιοῦται τῆς θείας γεννήσεως.

## ἈΠΟΤΑΞΙΣ, ΚΑῚ ΣΥΝΤΑΞΙΣ ΓΙΝΟΜΈΝΗ

Ὑπὸ τοῦ Ἀρχιεπισκόπου τῇ ἁγίᾳ παρασκευῇ τοῦ πάσχα, συναγομένων πάντων τῶν κατηχουμένων ἐν τῇ ἁγιωτάτῃ Ἐκκλησίᾳ.

Ἔρχεται ὁ Ἀρχιεπίσκοπος περὶ ὥραν ἕκτην, καὶ ἀναβαίνει ἐν τῷ ἄμβωνι. καὶ μετὰ τὸ εἰπεῖν τὸν Ἀρχιδιάκονον. Πρόσχωμεν: λέγει αὐτοῖς. Εἰρήνη πᾶσι. Καὶ λέγει ὁ Ἀρχιεπίσκοπος τοῖς κατηχουμένοις.

Στῆτε μετὰ φόβου, καὶ σφραγίσασθε. ἀποδύσασθε, καὶ ὑπολύσασθε.

Καὶ τούτου γενομένου, ἄρχεται τῆς κατηχήσεως λέγων οὕτως:

Οὗτο τὸ πέρας τῆς ὑμετέρας κατηχήσεως ἐπέστη. τῆς ἀπολυτρώσεως ὑμῶν καιρός. σήμερον μέλλετε τῷ Χριστῷ τῆς πίστεως ἐκτίθεσθαι γραμμάτιον. χάρτης, καὶ μέλαν ἡ καὶ κάλαμος γίνεται ὑμῶν ἡ συνείδησις, καὶ ἡ γλῶσσα καὶ τὸ σχῆμα. βλέπετε οὖν πῶς τὴν ὁμολογίαν χειρογράφητε. μὴ ἀστοχήσητε, ἵνα μὴ μεθοδευθῆτε. οἱ μέλλοντες ἀποθνήσκειν διατίθενται, καὶ γράφουσι τῶν ὑπαρχόντων αὐτοῖς ἄλλον κληρονόμον. καὶ ὑμεῖς μέλλετε αὔριον ἐν νυκτὶ ἀποθνήσκειν τῇ ἁμαρτίᾳ. νῦν δὲ διατίθεσθε καὶ ποιεῖτε Διαθήκην τὴν ἀπόταξιν, καὶ γράφετε τὸν κληρονόμον τῆς ἁμαρτίας τὸν διάβολον, καὶ ἀφίετε αὐτῷ τὰς ἁμαρτίας, ὡς πατρῴαν κληρονομίαν. εἴτις οὖν ὑμῶν ἔχει τι τοῦ Διαβόλου ἐν τῇ ψυχῇ, προσγραψάτω αὐτῷ ὁ ἀποθανών. οὐκ ἔτι γὰρ ἐξουσιάζει τῶν ὑπαρχόντων. καὶ ὑμῶν μηδεὶς ἐχέτω τι τοῦ Διαβόλου ἐν τῇ ψυχῇ. διὰ τοῦτο ἑστῶτες ἄνω τείνετε τὰς χεῖρας, ὡς παραγγελῶ, ἐρευνώμενοι μήτι τοῦ διαβόλου κρύπτεται παρ' ὑμῖν. μηδεὶς ἔχθραν κατεχέτω, μηδεὶς ὀργὴν φυλαττέτω, μηδεὶς μετὰ δόλου στηκέτω, μηδεὶς μετὰ ὑποκρίσεως ἀκουέτω, προσρίψατε τῷ Διαβόλῳ πᾶσαν ῥυπαρίαν, καὶ περίσσευμα κακίας, καὶ ὡς αἰχμάλωτοι στήκετε. τοιούτους γὰρ ἡμᾶς ὁ Χριστὸς ἀγοράζει. ἕκαστος ὑμῶν ὡς βλέπων καὶ μισῶν τὸν Διάβολον, οὕτως αὐτῷ ἐμφυσήσῃ. εἰσέλθατε εἰς τὰς συνειδήσεις ὑμῶν, ἐρευνήσατε τὰς καρδίας ὑμῶν,

βλέ-

βλέπετε τί ἕκαστος ἔκαμεν. ἅτι τοῦ ἁμαρτίου ἐστὶν ἐν ὑμῖν μετὰ τοῦ ἐκφυσήματος ἀποπτύσατε. μηδεὶς ἔσω ἐνταῦθα τῇ ὑποκρίσει ἰουδαῖος, μηδεὶς περὶ τὸ μυστήριον ἀμφιβαλλέτω. ὁ λόγος τοῦ Θεοῦ ἐρευνᾷ τὰς καρδίας ὑμῶν, τομώτερος ὢν παρὰ πᾶσαν μάχαιραν δίστομον. νῦν ἔστηκεν ἐπὶ τὰς δυσμὰς ὁ Διάβολος, τρίζων τοὺς ὀδόντας, σπαράγων τὰς κόμας, κροτῶν τὰς χεῖρας, δάκνων τὰ χείλη, μεμηνώς, θρηνῶν, τὴν ἑαυτοῦ ἐρημίαν, ἀπιστῶν ἐπὶ τῇ ὑμετέρᾳ ἐλευθερίᾳ. διὰ τοῦτο ὁ Χριστὸς ἵστησιν ὑμᾶς κατέναντι αὐτοῦ, ἵνα ἀποταξάμενοι αὐτῷ, καὶ ἐμφυσήσαντες αὐτῷ, τὸν κατ' αὐτοῦ ἀναλάβετε πόλεμον. ἐπὶ τὰς δυσμὰς ἔστηκεν ὁ Διάβολος, ὅπου ἡ ἀρχὴ τοῦ σκότους. ἀποτάσσεσθε αὐτῷ, καὶ ἐμφυσήσατε. εἶτα στρέφεσθε ἐπὶ ἀνατολὰς καὶ συντάσσεσθε τῷ Χριστῷ. μήτις οὖν καταφρονήσῃ· μετὰ φόβου στήκετε. πάντα φοβερώτατα τὰ παρόντα, καὶ φρικτά. πᾶσαι αἱ Δυνάμεις τῶν οὐρανῶν ἐνταῦθα πάρεισι. πάντες Ἄγγελοι καὶ Ἀρχάγγελοι ἀοράτως τὰς ὑμετέρας φωνὰς ἀπογράφουσι. τὰ Χερουβὶμ καὶ Σεραφὶμ νῦν ἐκ τῶν Οὐρανῶν παρακύπτουσιν, ἵνα δέξωνται ὑμῶν τὰς συνθήκας, καὶ προσκομίσωσι τῷ Δεσπότῃ. βλέπετε οὖν πῶς καὶ τῷ ἐχθρῷ ἀποτάσσεσθε, καὶ τῷ Δημιουργῷ συντάσσεσθε.

Καὶ μετὰ τοῦτο λέγει αὐτοῖς.

Στράφητε ἐπὶ τὰς δυσμὰς, ἄνω τὰς χεῖρας ἔχοντες. ὃ λέγω, τοῦτο καὶ ὑμεῖς λέγετε.

Ἀποτάσσομαι τῷ Σατανᾷ, καὶ πᾶσι τοῖς ἔργοις αὐτοῦ, καὶ πάσῃ τῇ λατρείᾳ αὐτοῦ, καὶ πᾶσι τοῖς ἀγγέλοις αὐτοῦ, καὶ πάσῃ τῇ πομπῇ αὐτοῦ.

Καὶ τοῦτο λέγει τρίς, πάντων ἀποκρινομένων.

Εἶτα ἐρωτᾷ αὐτούς.

Ἀπετάξασθε τῷ σατανᾷ; λέγουσιν αὐτῷ. Ἀπεταξάμεθα. λέγει αὐτοῖς. Ἐμφυσήσατε αὐτῷ. Εἶτα πάλιν λέγει αὐτοῖς.

Στράφητε ἐπὶ τὰς ἀνατολὰς κάτω τὰς χεῖρας ὑμῶν ἔχοντες. μετὰ φόβου στήκετε. ὃ λέγω, τοῦτο καὶ ὑμεῖς λέγετε.

Καὶ συντάσσομαι τῷ Χριστῷ, καὶ πιστεύω εἰς ἕνα Θεὸν παντοκράτορα ποιητὴν τοῦ Οὐρανοῦ καὶ τῆς Γῆς ὁρατῶν τε καὶ ἀοράτων, Καὶ τὰ ἑξῆς μέχρι τῆς συμπληρώσεως. τοῦτο τρὶς λέγει πάντων ἀποκρινομένων.

Καὶ ἐρωτᾷ αὐτούς. Συνετάξασθε τῷ Χριστῷ; Καὶ λέγουσι. Συνεταξάμεθα. Τοῦτο τρὶς ἐπερωτᾷ.

N Καὶ

Καὶ μετὰ τοῦτο λέγει αὐτοῖς. Προσκυνήσατε αὐτῷ. Καὶ πάντων προσκυνούντων, ποιεῖ εὐχὴν λέγων.

Εὐλογητὸς ὁ Θεὸς, ὁ θέλων πάντας ἀνθρώπους σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Καὶ λέγει αὐτοῖς πάλιν.

Ἰδοὺ ἀπετάξασθε τῷ Διαβόλῳ, καὶ συνετάξασθε τῷ Χριστῷ. τὸ γραμμάτιον ἐπληρώθη. ὁ Δεσπότης αὐτὸς ἐν Οὐρανοῖς κατέχει. βλέπετε τὰς Συνθήκας. φυλάξατε τοῦτο ὑμῖν, ἐν ἡμέρᾳ κρίσεως προφέρεται γραμμάτιον. μὴ ἀστοχήσετε περὶ τὸ κεφάλαιον, περὶ οὗ καὶ τοὺς τόκους εἰσπραχθήσεσθε. βλέπετε μὴ αἰσχυνθῆτε ἐπὶ τοῦ φοβεροῦ καὶ φρικτοῦ βήματος ἐκείνου, ἡνίκα πᾶσαι τῶν Οὐρανῶν αἱ Δυνάμεις σαλεύονται, καὶ πᾶσα τῶν ἀνθρώπων ἡ φύσις κρινομένη παρέστηκεν, Ἀγγέλων μυριάδες, Ἀρχαγγέλων στρατόπεδα, τῶν ἄνω Δυνάμεων τὰ τάγματα, ὅτε ὁ ποταμὸς τοῦ πυρὸς, καὶ ὁ σκώληξ ὁ ἀκοίμητος, καὶ τὸ σκότος τὸ ἐξώτερον, τότε σου ἀναγνωσθῆναι ἔχει τὸ χειρόγραφον. ἐὰν ἦς ἐλεήμων καὶ φιλάνθρωπος, εὐθὺς συνηγόρους ἕξεις τοὺς ἐλεηθέντας. ἐὰν δὲ ἦς ἀπάνθρωπος, καὶ ἀμετάδοτος, ἀμελὴς, καὶ λοίδορος, συκοφαντῶν τοὺς σὲ μὴ ἠδικηκότας, τότε παρίσταταί σοι ὁ Διάβολος κατηγορῶν, καὶ λέγων. Δέσποτα οὗτος λόγῳ μὲν ἀπετάξατο, ἔργῳ δὲ ὑπηρέτης ἐμοῦ. καὶ λοιπὸν στυγνάζουσι μὲν Ἄγγελοι, δακρύουσιν ἐπὶ σὲ πάντες οἱ Δίκαιοι, τὸ δὲ τέλος βαρὺ, καὶ τὸ λεγόμενον. ἐὰν τις ἐν τῷ παρόντι βίῳ ἐμπέσῃ εἰς κίνδυνον, ἢ προστάτας εὑρίσκει, ἢ φίλους παρακαλεῖ, ἢ συγγενῶν βοηθεῖται, ἢ διὰ χρημάτων ἐλευθεροῦται. ἐκεῖ δὲ τοιοῦτον οὐδέν. οὐ πατὴρ βοηθῶν, οὐ μήτηρ σπλαγχνιζομένη, οὐκ ἀδελφοὶ περιτρέχοντες, οὐ φίλοι σπουδάζοντες. ἀλλὰ πᾶς ἄνθρωπος γυμνὸς, καὶ μόνος, καὶ ἀπερίστατος, ὑπὸ ἰδίων ἔργων, ἢ βοηθούμενος, ἢ κατακρινόμενος. ἀδελφὸς γὰρ οὐ λυτροῦται. λυτρώσεται ἄνθρωπος; βλέπετε οὖν ἀσφαλίσασθε ἑαυτοὺς, ἀπετάξασθε τῷ Διαβόλῳ, μέχρι τέλους αὐτὸν μισήσατε. συνετάξασθε τῷ Χριστῷ, μέχρι ἐσχάτης ἀναπνοῆς αὐτὸν δοξολογήσατε, μετὰ ταύτης ὀρθοδόξου τῆς ὁμολογίας πρὸς τὸν Δεσπότην Θεὸν ἀποδημήσατε. μὴ ναυαγήσατε περὶ τὴν πίστιν. ἐλεήσατε πένητα, μὴ ὑπερίδητε ἀδικουμένους, μὴ ἁρπάσητε τὰ ἀλλότρια, μὴ συκοφαντήσητε τοὺς ἀνθρώπους, ἀκοὴν ματαίαν μὴ παραδέχεσθε. ὑπερμάχητε τῶν Ἱερέων ἡμῶν, τὴν ἑαυτῶν ζωὴν ἐν παντὶ καιρῷ ἀσφαλιζόμενοι.

Οὐ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Οὐδὲν ὑπεστειλάμην τοῦ μὴ εἰπεῖν ὑμῖν τὰ συμφέροντα. ὑμεῖς λοιπὸν, οἴδατε τὸ, πῶς φυλάττεται. ἐγὼ γὰρ προεῖπον ὑμῖν τὰ συμφέροντα, μήποτε ἐπελθοῦσα ῥομφαία λάβῃ ψυχὴν ἐκ τοῦ λαοῦ. ἐντηρεῖ γὰρ ὑμῶν ὁ ἐχθρὸς καὶ ῥήματα, καὶ ἐνθύμημα, καὶ ἔννοιαν, καὶ κίνημα, καὶ πρᾶξιν. ἀλλ' ὑμεῖς, οὕτως ἑαυτοὺς ἀσφαλίσασθε, ἵνα τοῦ ἐξ ἐναντίας μηδὲν ἔχοντος λέγειν περὶ ὑμῶν φαῦλον ἐν τῇ ἡμέρᾳ τῆς φοβερᾶς κρίσεως, παραστῶμεν τῷ βήματι τοῦ Χριστοῦ ἀκαταισχύντως, καὶ ἀκούσωμεν παρ' αὐτοῦ τὴν δικαίαν ἐκείνην καὶ μακαρίαν φωνήν. Δεῦτε εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. αὐτῷ πρέπει πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις. τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι.

Καὶ μετὰ τὸ, Ἀμὴν, λέγει αὐτοῖς. Ἄνω τὰς χεῖρας ὑμῶν.

Ὑπὲρ τῆς οἰκουμένης, τῆς καταστάσεως, εὐσταθείας, καὶ τῆς τῶν πάντων ἀναπαύσεως εἴπωμεν. τὸ, Κύριε ἐλέησον.

Ὑπὲρ τῶν εὐσεβεστάτων ἡμῶν βασιλέων, παντὸς τοῦ παλατίου, καὶ τοῦ στρατοπέδου αὐτῶν, καὶ τοῦ φιλοχρίστου λαοῦ. εἴπωμεν. Κύριε ἐλέησον.

Ὑπὲρ τῆς ἀπολυτρώσεως τῶν ψυχῶν ἡμῶν, εἴπωμεν. Κύριε ἐλέησον.

Ὑπὲρ τοῦ συντριβῆναι τὸν σατανᾶν ἐν τάχει ὑπὸ τῶν ποδῶν ἡμῶν. καὶ ὑπὲρ ἀναίμακτον φυλαχθῆναι τὴν πόλιν ἡμῶν εἴπωμεν. Κύριε ἐλέησον.

Καὶ σφραγίζει τὸν λαὸν κατὰ τὸ ἔθος ὁ Ἀρχιεπίσκοπος, καὶ ποιεῖ τὴν εὐχὴν ταύτην.

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν.

Καὶ μετὰ τὸ, Ἀμὴν, λέγει. Ἐνδύσασθε, καὶ ὑποδύσασθε. καὶ κατέρχεται ἐν τῷ ἁγίῳ θυσιαστηρίῳ. καὶ ποιεῖ εὐχὴν εἰς τοὺς πρὸς τὸ ἅγιον βάπτισμα εὐτρεπιζομένους κατὰ τὸ ἔθος ποιοῦντος εὐχὴν τοῦ Διακόνου. ἐπεύχεται ὁ Ἱερεὺς τὴν εὐχὴν ταύτην, μὴ λέγων τὴν συνήθη ἐκφώνησιν ἐν τῷ τέλει τῆς εὐχῆς.

Δέσποτα Κύριε ὁ Θεὸς, προσκάλεσαι τοὺς δούλους σου πρὸς τὸ ἅγιόν σου φώτισμα, καὶ καταξίωσον αὐτοὺς τῆς μεγάλης ταύτης χάριτος. ἀπόδυσον αὐτῶν τὴν παλαιότητα, καὶ ἀναγέννησον αὐτοὺς εἰς τὴν ζωὴν τὴν αἰώνιον. καὶ πλήρωσον αὐτοὺς τῆς τοῦ ἁγίου Πνεύματός σου δυνάμεως εἰς αἴνεσιν τοῦ Χριστοῦ σου. ἵνα μηκέτι τέκνα σώματος ὦσιν, ἀλλὰ τέκνα τῆς σῆς Βασιλείας.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Καὶ πληρῶν τὴν εὐχὴν τῶν φωτιζομένων, ὁ Διάκονος ἀντὶ τοῦ κλῖναι τὰς κεφαλάς, λέγει.

Ὅσοι πρὸς τὸ φώτισμα, προέλθετε τῇ χειροθεσίᾳ, καὶ εὐλογεῖσθε.

Καὶ πάντας χειροθετῶν ὁ Ἱερεὺς ἄνδρας τε, καὶ γυναῖκας, εἰσέρχεται πάλιν ἐγγὺς τῆς ἁγίας Τραπέζης, καὶ ἐκφωνεῖ.

Ὅτι σὺ εἶ ὁ φωτισμὸς ἡμῶν καὶ σοὶ τὴν δόξαν.

Εἶτα λέγει ὁ Ἱερεύς. Εἰρήνη πᾶσι. Καὶ τοῦ Διακόνου λέγοντος. Τὰς κεφαλὰς ὑμῶν τῷ κυρίῳ κλίνατε. Ἐπεύχεται ὁ Ἱερεύς.

Ὁ Θεὸς ὁ Πατὴρ ἡμῶν, ὁ πάντας θέλων σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, λάμψον φῶς γνώσεως ἐν ταῖς καρδίαις ἡμῶν, καὶ τῶν πρὸς τὸ ἅγιον φώτισμα εὐτρεπιζομένων. καὶ ἀξίωσον αὐτοὺς τῆς ἀθανάτου σου δωρεᾶς, καὶ ἕνωσον αὐτοὺς τῇ ἁγίᾳ σου καθολικῇ Ἐκκλησίᾳ. Σὸν γάρ ἐστι τὸ ἐλεεῖν, καὶ σώζειν ἡμᾶς· καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν.

## ΠΩ͂Σ ΔΕΙ͂ ΔΕ΄ΧΕΣΘΑΙ ΤΟ`Ν ἘΞ ἙΒΡΑΙ´ΩΝ ΤΗ͂, ΤΩ͂Ν ΧΡΙΣΤΙΑΝΩ͂Ν ΠΙ΄ΣΤΕΙ ΠΡΟΣΕΡΧΟ΄ΜΕΝΟΝ.

Ἐξαγορεύειν αὐτὸν χρή, καὶ θριαμβεύειν πᾶν ἔθνος Ἑβραϊκόν· κἀντεῦθεν δεικνύειν πῶς ἐξ ὅλης καρδίας, καὶ πίστεως εἰλικρινοῦς Χριστιανοῖς συμβιῶναι ἠθέλησε. καὶ ἀποτάσσεσθαι μὲν φανερῶς ἐπ' Ἐκκλησίας πάσῃ τῇ Ἰουδαϊκῇ θρησκείᾳ, τοῦ Ἱερέως δηλαδὴ λέγοντος, καὶ αὐτοῦ ἀποκρινομένου κατὰ στίχον, ἢ τοῦ ἀναδόχου αὐτοῦ, ἐάν πω ὑπάρχει παιδίον· ἡ δὲ ἀπόταξίς ἐστι τοιαύτη.

Ἀποτάσσομαι πᾶσι τοῖς Ἑβραϊκοῖς ἔθεσι, καὶ τοῖς ἐπιτηδεύμασι, καὶ τοῖς νομίμοις, καὶ τοῖς ἀζύμοις, καὶ τῇ θυσίᾳ τοῦ ἀμνοῦ, καὶ ταῖς σάλπιγξι, καὶ ταῖς σκηνοπηγίαις, καὶ ταῖς λοιπαῖς ἁπάσαις ἑορταῖς τῶν Ἑβραίων, καὶ ταῖς θυσίαις, καὶ ταῖς προσευχαῖς, καὶ τοῖς ῥαντισμοῖς καὶ καθαρμοῖς, καὶ τοῖς ἁγιασμοῖς, καὶ τοῖς ἱλασμοῖς, καὶ ταῖς νηστείαις, καὶ ταῖς νεομηνίαις, καὶ τοῖς σάββασι, καὶ ταῖς γοητείαις, καὶ ταῖς ἐπῳδαῖς, καὶ τοῖς περιάσμασι, καὶ τοῖς φυλακαρίοις, καὶ ταῖς συναγωγαῖς, καὶ τοῖς βρώμασι, καὶ τοῖς πόμασι τῶν Ἰουδαίων. καὶ ἁπλῶς ἀποτάσσομαι παντὶ Ἰουδαϊκῷ πράγματι, καὶ νομίμῳ, καὶ ἔθει, καὶ ἐπιτηδεύματι. καὶ ἐπὶ πᾶσιν ἀποτάσσομαι τῷ ἐν σχήματι τοῦ Χριστοῦ προσδοκωμένῳ

ἀπὸ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀπὸ πάντων τῶν Ἰουδαίων Ἀντιχρίστῳ, καὶ συντάσσομαι τῷ ἀληθινῷ Χριστῷ καὶ θεῷ. καὶ πιστεύω εἰς Πατέρα, Υἱὸν, καὶ ἅγιον πνεῦμα, τὴν ἁγίαν, καὶ ὁμοούσιον, καὶ ἀχώριστον τριάδα. καὶ τὴν ἔνσαρκον οἰκονομίαν, καὶ πρὸς ἀνθρώπους ἀποδημίαν αὐτοῦ τοῦ θεοῦ Λόγου, τοῦ τῆς ἁγίας Τριάδος ἑνὸς, ὁμολογῶν κατ᾽ ἀλήθειαν αὐτὸν ἄνθρωπον γενέσθαι. πείθομαι μὴ ἐκστάντα τῆς οἰκείας Θεότητος, καὶ τὴν κατὰ σάρκα τοῦτον τεκοῦσαν ἁγίαν παρθένον Μαρίαν, κυρίως καὶ ἀληθῶς θεοτόκον εἶναι πιστεύω καὶ λέγω. καὶ τὸν σεβάσμιον τοῦ Χριστοῦ Σταυρὸν, καὶ τὰς ἱερὰς εἰκόνας πιστεύω, καὶ δέχομαι, καὶ προσκυνῶ καὶ ἀσπάζομαι. καὶ οὕτως ἐξ ὅλης ψυχῆς καὶ καρδίας, καὶ πίστεως ἀληθοῦς προσέρχομαι τῇ πίστει τῶν Χριστιανῶν. Εἰ δὲ μεθ᾽ ὑποκρίσεως καὶ δόλου, καὶ οὐκ ἐκ πίστεως ὁλοψύχου τὸν Χριστὸν ἐκ καρδίας ἀγαπώσης, ἀλλ᾽ ἄρτι μὲν σχηματίζω εἶναι Χριστιανὸς, ὕστερον δὲ θελήσω ἀρνήσασθαι, καὶ πρὸς τὴν Ἰουδαϊκὴν ὑποστρέψαι πάλιν θρησκείαν, ἢ ὀφθῶ συνεσθίων τοῖς Ἰουδαίοις, ἢ συνεορτάζων, ἢ συνομιλῶν λάθρα, καὶ τὸν Χριστιανισμὸν διαβάλλων, καὶ οὐχὶ μᾶλλον φανερῶς ἐλέγχω τούτους, καὶ ἀθετῶ τὴν ματαίαν πίστιν αὐτῶν. νῦν μὲν ἔλθωσιν ἐπ᾽ ἐμὲ ὁ τρόμος τοῦ Κάϊν, καὶ ἡ λέπρα τοῦ Γιεζῆ, πρὸς τὸ, καὶ ταῖς ποιναῖς τῶν πολιτικῶν. κατὰ δὲ τὸν μέλλοντα αἰῶνα εἴην ἀνάθεμα καὶ κατάθεμα, καὶ ἡ ψυχὴ, ταχθείη μετὰ τοῦ σατανᾶ, καὶ τῶν δαιμόνων.

Εἰς Ἑβραῖον λέγει καὶ τὴν εὐχήν.

Κύριε Ἰησοῦ Χριστὲ Υἱὲ τοῦ Θεοῦ ζῶντος, ἀμνὲ, καὶ ποιμὴν, βασιλεῦ τῶν αἰώνων, ὁ ἐπισυνάξας τὸ πεπλανημένον πρόβατον εἰς τὴν ποίμνην, ὁ ἐπιστρέφων ἁμαρτωλὸν ἐκ πλάνης ὁδοῦ αὐτοῦ. αὐτὸς ἐπίστρεψον καὶ τὸν δοῦλόν σου τοῦτον ἀπὸ τοῦ σκότους τοῦ ἀντικειμένου πρὸς τὸ φῶς τὸ αἰώνιον. ἀνακάλεσαι αὐτὸν ἀπὸ τῆς πλάνης τοῦ διαβόλου εἰς τὴν θεογνωσίαν τοῦ μονογενοῦς σου Υἱοῦ. ἑδραίωσον αὐτοῦ τὴν καρδίαν ἐν πίστει καὶ ἀγάπῃ, μερίδα καὶ κλῆρον αὐτῷ χάρισαι ἐν τῇ Ἐκκλησίᾳ σου. Σὺ γὰρ εἶ ὁ θεὸς ἡμῶν, ἐκτός σου ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά σου ὀνομάζομεν. ἵνα πάντοτε καὶ διὰ πάντων εἴης εὐλογημένος ὁ Θεὸς ἡμῶν. νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

*Παρ᾽ ἄλλοις οὐκ ἔστιν ἡ παροῦσα εὐχή. μετὰ δὲ τὴν ἄνω εἰρημένην τάξιν ἕπεται τὰ παρόντα.*

Ταῦτα τοῦ προσερχομένου λέγοντος ἐπ᾽ Ἐκκλησίας, ποιοῦμεν αὐτὸν Χριστιανὸν, εἴτ᾽ οὖν ἡγούμεθα ὡς Χριστιανὸν ἀβάπτιστον, εἰ τύχον

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τυχον ὅτι τὰ τῶν Χριστιανῶν παιδία τὰ μέλλοντα βαπτίζεσθαι. τῇ δὲ αὐτῇ ἡμέρᾳ τοῖς κατηχουμένοις συναριθμοῦμεν λέγοντες ἐπ' αὐτῷ τὴν ἀρχὴν, ἣν ἐπὶ τῶν κατηχουμένων παίδων φαμέν. καὶ τῇ ἑξῆς χρώμεθα ταῖς τῶν ἐξορκισμῶν ἀρχαῖς, καὶ οὕτως ἀκολούθως ἐπιτελοῦμεν πάντα τὰ ἐπὶ τῷ βαπτίσματι νενομισμένα.

## ΕΥΧΗ ΕΙΣ ΤΟ ΠΟΙΗΣΑΙ ΕΘΝΙΚΟΝ ΚΑΤΗΧΟΥΜΕΝΟΝ.

Ποιεῖ αὐτὸν κλῖναι τὸ γόνυ πρὸ τῶν πυλῶν, σφραγίζει τρίτον, καὶ λέγει.

Εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς, καὶ πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ ἐκ πάντων τῶν ἐθνῶν ἐκλεγόμενος ἑαυτῷ λαὸν περιούσιον, ζηλωτὴν καλῶν ἔργων. σὺ τὸν παρόντα καὶ προσελθόντα τῇ ἁγίᾳ σου Ἐκκλησίᾳ δοῦλόν σου εὐλόγησον. ἀποκάλυψον τοὺς ὀφθαλμοὺς αὐτοῦ πρὸς τὴν τῶν θαυμασίων σου κατανόησιν, διάνοιξον αὐτοῦ τὰ ὦτα εἰς ὑπακοὴν τῶν θείων λογίων σου, συνάψον αὐτὸν τοῖς κατηχουμένοις τοῦ λαοῦ σου. ἵνα ἐν καιρῷ εὐθέτῳ καταξιωθῇ τοῦ λουτροῦ τῆς παλιγγενεσίας, τοῦ ἐνδύματος τῆς ἀφθαρσίας.

Εἶτα σφραγίσας αὐτὸν, πάλιν τρίτον ἐγγράφει αὐτοῦ τὸ ὄνομα τοῖς Κατηχουμένοις.

Σὺ Δέσποτα τὴν σωτηρίαν ἐξέπεμψας τῷ κόσμῳ τὸν ἅγιόν σου λόγον. ἵνα πληρώσῃ πάντα τῆς θεογνωσίας σου. σὺ ἐξέλου τὴν ψυχὴν τοῦ δούλου σου ἐκ τοῦ πονηροῦ· σὺ καὶ φώτισον αὐτὴν, καὶ ὁδήγησον εἰς ἁγιασμὸν τοῦ Χριστοῦ σου. καὶ μὴ συγχωρήσῃς πνεύματί τινι πονηρῷ χώραν ἐν αὐτῷ ἔχειν. Σὺ γὰρ εἶ μόνος λυτρωτὴς τοῦ γένους ἡμῶν, καὶ σοὶ τὴν δόξαν καὶ εὐχαριστίαν προσάγομεν. τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι.

## ΕΥΧΗ ΕΠΙ ΤΟ ΑΝΑΔΗΣΑΣΘΑΙ κεφαλὴν γυναικός.

Ὁ Θεὸς ὁ Θεὸς ἡμῶν, ὁ ἐν προφήταις λαλήσας, καὶ προκηρύξας τὸν φωτισμὸν τῆς γνώσεώς σου ἔσεσθαι ἐπ' ἐσχάτων τῶν γενεῶν πᾶσι

τοῖς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τοῖς ἔθνεσιν, ὁ μὴ θέλων τινὰ τῶν ὑπὸ σοῦ πεπλασμένων ἀνθρώπων ἀμοιρεῖν τῆς σῆς σωτηρίας. ὁ νόμους ἐκθέμενος διὰ σκεύους τῆς ἐκλογῆς Παύλου τοῦ ἀποστόλου σοῦ τοῖς ἐν πίστει πολιτευομένοις ἀνδράσι καὶ γυναιξὶ, ἵνα οἱ μὲν ἀκαλύπτῳ τῇ κεφαλῇ προσφέρωσιν αἴνεσιν, καὶ δοξολογίαν τῷ ἁγίῳ ὀνόματί σου, αἱ δὲ τῇ κεφαλῇ μετ' αἰδοῦς καὶ σωφροσύνης κοσμῶσιν ἑαυτὰς ἐν ἔργοις ἀγαθοῖς, καὶ ὕμνους προσάγωσι τῇ δόξῃ σου. αὐτὸς εὐλόγησον καὶ τὴν δούλην σου, τήνδε, καὶ κόσμησον τὴν αὐτῆς κεφαλὴν κόσμῳ τῷ σοὶ εὐαρέστῳ, ὅπως κατὰ τὰς ἐντολάς σου πορευομένη, καὶ τὰ μέλη πρὸς σωφρονισμὸν παιδαγωγοῦσα, τύχῃ τῶν αἰωνίων ἀγαθῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

# ΕΥ̓ΧῊ

## Εἰς γυναῖκα λεχὼ, λεγομένη ἐν τῇ πρώτῃ ἡμέρᾳ τῆς γεννήσεως αὐτῆς.

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῷ ἐνυποστάτῳ σου Λόγῳ τὰ πάντα ἐκ μὴ ὄντων εἰς τὸ εἶναι παραγαγὼν, καὶ τῷ θείῳ Πνεύματι ταῦτα τελειώσας, ὁ τῇ σῇ κελεύσει τὰς μαίας ἐν τῇ Αἰγύπτῳ τὰ βρέφη τῶν Ἑβραίων ζωογονούσας, καὶ εὐλογήσας αὐτάς. οὕτως ποίησον Κύριε ὁ Θεὸς καὶ τὴν παροῦσαν λεχὼ, καὶ τὴν μαῖαν ταύτην εὐλόγησον, ἁγίασον. καθάρισον αὐτῆς τὸν ῥύπον τοῦ σώματος, καὶ τὸν σπῖλον τῆς ψυχῆς, καὶ ἀξίωσον αὐτὴν διὰ τοῦ τιμίου πρεσβυτερίου τῆς εἰσόδου τοῦ Ναοῦ σου.

Ὅτι σὺ εἶ ὁ εὐλογῶν, καὶ ἁγιάζων τὰ πάντα Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, καὶ τῷ Πατρὶ, καὶ τῷ ἁγίῳ Πνεύματι. νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ ἑτέρα πρὸς τὰς λοιπὰς παρεστώσας γυναῖκας.

Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ περὶ τῶν ζώων ἐν τῇ ὀθόνῃ εἰπὼν Πέτρῳ τῷ Ἀποστόλῳ καὶ κορυφαίῳ, ἃ ὁ Θεὸς ἐκαθάρισε, σὺ μὴ κοίνου. καὶ πάντα τὰ μιαρὰ καὶ ἀκάθαρτα, καθαρὰ νομοθετήσας. αὐτὸς εὐλόγησον, καὶ ἁγίασον τὰς δούλας σου ταύτας τὰς λαχούσας ἐν τῇ κινήσει τῆς δούλης σου τῆς (δεῖνος) καὶ ἀξίωσον αὐτὰς ἀμέμπτως εἰσελθεῖν ἐν τῇ ἁγίᾳ σου Ἐκκλησίᾳ, καὶ μεταλαβεῖν τῶν θείων σου, καὶ ἀχράν-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀχράντων καὶ ζωοποιῶν Μυστηρίων. καὶ τῆς ἐπουρανίου σου Βασιλείας ἀξιωθῆναι. καὶ δόξαν σοι ἀναπέμπομεν τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνι. νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ ΕΙΣ ΓΥΝΑΙΚΑ ΛΕΧΩ ΕΙΚΟΣΙ, Η ΔΕΚΑΠΕΝΤΕ ΗΜΕΡΩΝ.

Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Τὸ Ἀπολυτίκιον τῆς ἡμέρας.

Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἀληθινὸς ἄρτος τῆς ζωῆς ἡμῶν, ὁ καθαρίσαι, καὶ ἀναγεννῆσαι ἡμᾶς διὰ τῆς ἐνσάρκου σου οἰκονομίας, καὶ κελεύσας ἡμᾶς τοὺς ἀναξίους δούλους σου εὐλογεῖν, καὶ ἁγιάζειν τοὺς προσερχομένους τῷ ὀνόματί σου τῷ ἁγίῳ. αὐτὸς Κε ὁ Θς ἡμῶν, καὶ τὴν δούλην σου τήνδε (δεῖνα) κάθαρον ἐκ τοῦ ἀπελθόντος αὐτῆς σωματικοῦ μολυσμοῦ, διὰ τῆς καθάρσεως τῶν εἴκοσι ἡμερῶν, καὶ εὐλόγησον αὐτὴν, καὶ διαφύλαξον αὐτὴν, καὶ τὸ βρέφος ὃ ἔτεκε, καὶ τὴν ζήμην τῶν χειρῶν αὐτῆς, καὶ πάντα τὰ ἔργα τῶν χειρῶν αὐτῆς. ἵνα ἀνεμποδίστως φέρῃ πάντας τοὺς ἐν τῷ οἴκῳ αὐτῆς κατὰ τὸ σὸν ἅγιον θέλημα. Ἵνα δοξάζωμεν καὶ προσκυνῶμεν τὴν σὴν ἄπειρον ἀγαθότητα ἐν τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι. νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ ΕΝ ΤΩ ΤΑΦΩ ΗΝΙΚΑ ΒΑΛΛΗ ΜΥΡΟΝ

Ἢ ἔλαιον σταυροειδῶς ῥῖπτον ἐπάνω τοῦ λειψάνου.

Μνήσθητι Κύριε ὁ Θεὸς ἡμῶν τοῦ ἐν πίστει καὶ ἐλπίδι ζωῆς αἰωνίου κοιμηθέντος ἀδελφοῦ ἡμῶν τοῦ (δεῖνος), καὶ ὡς ἀγαθὸς καὶ φιλάνθρωπος ὑπερβαίνων, καὶ ἐξαλείφων ἀδικίας, ἄνες, ἄφες, συγχώρησον πᾶν ἑκούσιον, καὶ ἀκούσιον αὐτοῦ πλημμέλημα, ἐξανιστῶν αὐτὸν ἐν τῇ ἁγίᾳ σου δευτέρᾳ παρουσίᾳ, εἰς μετοχὴν τῶν αἰωνίων σου ἀγαθῶν, δι' ὧν μόνον εἰς σὲ ἐπίστευσε τὸν ἀληθινὸν Θεὸν, καὶ φιλάνθρωπον. Ὅτι σὺ εἶ ἡ ἀνάστασις τοῦ δούλου σου Χριστὲ ὁ Θεὸς ἡμῶν καὶ σοὶ τὴν.

Εὐ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Εὐχὴ ἐπιτάφιος καθολική.

Δέσποτα ὁ Θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκὸς, ὁ διδοὺς καταστολὴν δόξης ἀντὶ πνεύματος ἀκηδείας, καὶ τῇ ἀπορρήτῳ σου σοφίᾳ ἑνώσας ψυχὴν σώματι, καὶ πάλιν ἀναλύων, τὸν μὲν χοῦν τῷ χοΐ, τὸ δὲ πνεῦμα πρὸς ἑαυτὸν καθὼς ἔδωκας ἀφελόμενος. αὐτὸς Δέσποτα Χριστὲ πρόσδεξαι τὴν ψυχὴν τοῦ δούλου σου τοῦδε, καὶ κατάταξον αὐτὸν μετὰ τῶν ἁγίων σου ἀναπαύεσθαι εἰς τόπον φωτεινὸν, εἰς χῶραν εὐσεβῶν, εἰς τόπον ἀναψύξεως. ἐκεῖ, ὅθεν ἀπέδρα ὀδύνη, καὶ λύπη, καὶ στεναγμός. ὅτι οὐκ ἔστι τοῖς δούλοις σου ὁ θάνατος ὡς ἀληθῶς, ἀλλὰ ψυχῆς μετάστασις. καὶ εἴτι ἐν λόγῳ, ἢ ἔργῳ, ἢ ἐνθυμήσει ἥμαρτε, πάριδε ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

## ΕΥΧΗ ΕΙΣ ΑΓΑΠΗΝ ΚΑΙ ΟΜΟΝΟΙΑΝ

Ἐξ ἔχθρας τινός.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῆς ἀγάπης φυτουργὸς, καὶ τῆς εἰρήνης βραβευτὴς, καὶ τῆς ὁμονοίας δοτὴρ, χάρισαι ἡμῖν τὴν ἀγάπην σου, τὸ πλήρωμα τοῦ νόμου σου. δὸς ἡμῖν τὸ προσλαμβάνεσθαι ἀλλήλους ἐν ἀγάπῃ, καθὼς καὶ ὁ μονογενής σου Υἱὸς προσελάβετο ἡμᾶς. δὸς ἡμῖν ἀλλήλων τὰ βάρη βαστάζειν, καὶ μετ᾽ εὐνοίας δουλεύειν ἀλλήλοις, καὶ ἀναπληροῦν τὸν νόμον τοῦ Χριστοῦ σου μετὰ πάσης προθυμίας, λυτρούμενος μυρίων κακῶν, ἀπὸ πάσης ἐπιβουλῆς, καὶ ἐνεργείας τοῦ πονηροῦ. Ὅτι Θεὸς εἰρήνης καὶ ὁμονοίας καὶ οἰκτιρμῶν ὑπάρχεις. καὶ σοὶ τὴν δόξαν.

## ΕΥΧΗ

Τῆς μετάξης, ἤτε σηρικῆς πλοκῆς.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καθήμενος ἐπὶ τῶν Χερουβὶμ, καὶ ὑμνούμενος ὑπὸ τῶν Σεραφὶμ, καὶ ὑπὸ ἀναριθμήτων ἀγγέλων δοξαζόμενος, ὁ ποιῶν μεγάλα, καὶ θαυμαστὰ, καὶ ἐξαίσια ἔργα, ἃ οὔτε ἔννοια καταλαβέσθαι δύναται, οὔτε λόγος ἑρμηνεῦσαι ἰσχύει. αὐτὸς οὖν Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὸν θεράποντά σου Ἀβραὰμ πατέρα πολλῶν ἐθνῶν ἀποκαλέσας, καὶ δοὺς αὐτῷ μετὰ γῆρας, υἱὸν τὸν Ἰσαὰκ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ εἰπὼν αὐτῷ· εὐλογήσας πληθυνῶν πληθυνῶ τὸ σπέρμα σου ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ, καὶ ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης. ὁ γνῶσιν, καὶ σύνεσιν, καὶ σοφίαν, καὶ πλοῦτον Δαβὶδ καὶ Σολομῶντι τῷ αὐτοῦ Υἱῷ χαρισάμενος, καὶ εὐλογήσας αὐτούς. αὐτὸς εὐλόγησον καὶ τὸν σκώληκα τοῦτον τῆς μετάξης τὸν ἐξελθόντα, διὰ τὴν σὴν ἄπειρον ἀγαθότητα, ἐκ τῆς ὀσφύος καὶ τοῦ ποδὸς τοῦ σοῦ θεράποντος (1) Συμεὼν, καὶ πλήθυνον αὐτὸν ἐν τῷ παρόντι οἴκῳ, καὶ καρποφόρον ποίησον καὶ εὔκρατον, καὶ ἄβλαβον ἀνάδειξον ἐκ παντὸς ῥίγους, καὶ φθοροποιοῦ πάθους· ναὶ Κύριε ὁ Θεὸς ἡμῶν, δεόμεθά σου, ἵνα ἐπιβλέψῃς ἐπὶ τὸν σκώληκα τοῦτον τῆς μετάξης τὸν ποιοῦντα τοιαύτην θαυμαστὴν καὶ ἐξαίρετον ἐργασίαν. καὶ εὐλόγησον αὐτὸν, καὶ διαφύλαξον αὐτὸν ἀπὸ πάσης φαρμακείας καὶ ἐπαοιδίας, καὶ παντὸς βασκάνου, ἀπὸ βλέμματος, καὶ ὁράσεως βλαπτικῆς. δὸς τοῖς ἐργαζομένοις αὐτὸν ἵνα μὴ μάτην κοπιῶσι· ἀλλὰ πλουσίως τῆς εὐλογίας σου ταύτης καὶ δωρεᾶς ἐμπλησθῆναι ἀξίωσον. εἰς σὲ πᾶσαν τὴν ἐλπίδα ἡμῶν ἐθέμεθα, πᾶσαν ὀργὴν καὶ νόσον ἐπερχομένην βλαβερῶς ἀποδίωξον καὶ διασκέδασον ἀπ' αὐτοῦ. πρεσβείαις τῆς παναχράντου σου Μητρὸς, καὶ τοῦ σοῦ θεράποντος Συμεών. Ὅτι σὺ εἶ ὁ εὐλογῶν καὶ ἁγιάζων τὰ πάντα, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν. τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι. νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

(1) Οὐκ ἐκ τῆς ὀσφύος τοῦ Συμεὼν, οὐδὲ μὴν ἐκ τοῦ ποδὸς αὐτοῦ ἐξῆλθεν τῆς μετάξης ὁ σκώληξ. ἀλλ' ὡς ἱστορεῖ Ζωναρᾶς ἐν τοῖς περὶ τοῦ Βασιλέως Ἰουστινιανοῦ, ὠά τινα τοῦ ῥηθέντος βόμβυκος ἐκ τῆς Περσίδος ἐς τὴν Κωνσταντίνου ὑπὸ δύο Μοναχῶν μετενεχθέντα, καὶ δὴ καὶ κόπρου θάλπει παρεμβληθέντα, εἰς ἑτέρους βόμβυκας ἀφθονώτερον ἐμορφώθη. θατέρου τοίνυν τῶν μοναχῶν Συμεὼν καλουμένου, τὰ περὶ αὐτοῦ ῥηθέντα τροπικῶς ἀξιοῦμεν εἰρῆσθαι.

# Τ Ε Λ Ο Σ.

# ΠΙΝΑΞ

## ΤΩΝ ΕΝ ΤΩ ΠΑΡΟΝΤΙ

### Δευτέρῳ τόμῳ Περιεχομένων.


Ἑρμηνεία καὶ ἀκολουθία εἰς ἐγκαίνια Ναοῦ. εἰς φύλλα 5
Ἑτέρα τάξις καὶ Ἀκολουθία ἐπὶ Καθιερώσει Ναοῦ. 36
Τάξις γινομένη περὶ Ἀντιμινσίων. 45
Ἀκολουθία εἰς ἐγκαίνια Δίσκου καὶ Ποτηρίου, καινῶν καὶ ἀθίκτων. 48
Περὶ τῆς τοῦ μεγάλου Μύρου κατασκευῆς ἐν τῇ μεγάλῃ Ἐκκλησίᾳ τῆς Κωνσταντινουπόλεως. 49
Ἑτέρα τάξις γινομένη εἰς τὸ ποιῆσαι καὶ κατασκευάσαι τὸ ἅγιον Μύρον. 51
Εὐχὴ ἐπὶ προσφερόντων Καρπὸν νέον. 55
Εὐχὴ ἐπὶ Καρποφορούντων. 55
Εὐχὴ ἐπὶ Κολύβοις Κοιμηθέντων. 55
Εὐχὴ ἐπὶ μνήμῃ τοῦ Ἁγίου διὰ δόσεως Κρεῶν, Οἴνου, Ἄρτου, καὶ Κολύβων. 56
Ἀκολουθία λεγομένη, ὥρα, ἡνίκα ἂν Ἀρχιερεὺς λύσῃ Ἱερέα ἀφορισθέντα. 56
Ἀκολουθία εἰς λύσιν ἀφορισμοῦ ἱερέως ἐπὶ κοσμικόν τινα δεσμευθέντα παρ' αὐτοῦ τοῦ Ἱερέως ἕνεκα ὕβρεως. 57
Εὐχὴ ἑτέρα εἰς τὸ ἀπολῦσαι κανόνα εἰς ἀφορισθέντα. 58
Εὐχὴ ἐπὶ προχειρίσει Βασιλέως. 59
Εὐχὴ ἐπὶ προχειρίσει Καίσαρος Νωβελισσίμου Κουροπαλάτου. 61
Εὐχὴ ἐπὶ προαγωγῇ Ἀρχόντων. ἤτοι Πατρικίων.




ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Εὐχὴ γινομένη ὁσάκις ἔλθῃ ὁ Πατριάρχης εἰς τὸν Βασιλέα ἐξαιρέτως δὲ τῇ ε΄. τῆς διακαινησίμου. 62
Εὐχὴ ἄλλη ἐπὶ Βασιλέως. 63
Εὐχὴ ἐπὶ χειροτονίᾳ Διακονίσσης. 64
Ἐκ τῶν τοῦ Ματθαίου Βλασάρη περὶ χειροτονίας Διακονισ. 66
Τάξις ἐπὶ προχειρίσει ψάλτου. 66
Ἀκολουθία εἰς ἀναγνώστην. 67
Εὐχὴ ἐπὶ χειροτονίᾳ Δεποτάτου, καὶ Κηροφόρου. 69
Ἀκολουθία τοῦ Σταυροπηγίου. 69
Εὐχὴ λεγομένη εἰς θεμέλιον Ἐκκλησίας, ὅπερ καὶ Σταυροπήγιον τινὲς ὠνόμασαν. 70
Εὐχὴ ἑτέρα ἐπὶ θεμελίου Ἐκκλησίας. 71
Ἀκολουθία ἐπὶ λύσεως Ναοῦ ὑπὸ αἱρετικῶν μιανθέντος. 72
Εὐχὴ λεγομένη ὑπὸ Ἀρχιερέως ἐπάνωθεν τῆς ἁγίας Τραπέζης ἐν ᾗ ἐλειτούργησαν αἱρετικοί. 72
Εὐχὴ ἐπὶ ἐξομολογουμένων. 73
Εὐχὴ ἑτέρα. 73
Εὐχὴ συγχωρητικὴ ἐπὶ ἐξομολογουμένων. 73
Εὐχὴ ἑτέρα τοῦ Χρυσοστόμου. 74
Ἀφέσιμον. 75
Ἀφέσιμον ἕτερον. 75
Τάξις εἰς λύσιν τετελευτηκότος ἐν δεσμοῖς Ἀρχιερέως. 75
Εὐχὴ εἰς λύσιν ἀφορισμοῦ τεθνηκότος. 76
Λύσις ἀφορισμοῦ. 76
Εὐχὴ ἐπὶ πᾶν εἶδος ἀρρωστίας. 77
Εὐχὴ εἰς ἀσθενοῦντα 77
Εὐχὴ γινομένη ὑπὸ τοῦ Πατριάρχου, ὅτε πρὸς συνήθειαν ἐπιτελεῖ τὴν τρύγην ὁ Βασιλεὺς τῇ ιε΄. αὐγούστου ἐν Βλαχέρναις. 78
Εὐχὴ ἐν ἀρχῇ σπορίμων. 78
Εὐχὴ εἰς Λίμνην. 79
Εὐχὴ ἑτέρα εἰς Λίμνην. 80
Σύνταξις εἰς Τεκνοποιΐαν. 80
Εὐχὴ ἑτέρα εἰς Τεκνοποιΐαν. 80
Εὐχὴ ἐπὶ τοῖς προσφέρουσιν Ἀμμόν. 81

Εὐ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Εὐχὴ πρὸ Ἀρίστου ἐν τῇ κατ᾽ οἶκον εὐωχίᾳ. 81
Εὐχὴ ἑτέρα πρὸ Ἀρίστου. 82
Εὐχὴ μετὰ τὸ ἀναστῆναι ἐκ τοῦ Ἀρίστου. 82
Εὐχὴ ἑτέρα μετὰ τὸ ἄριστον. 82
Εὐχὴ εἰς εὐλόγησιν τοῦ Κανισκίου τῆς τραπέζης. 82
Εὐχὴ εἰς τὸ μαθεῖν παντοῖα ἱερὰ γράμματα. 83
Εὐχὴ ἐπὶ πασχόντων ὑπὸ Δαιμόνων. 83
Εὐχὴ εἰς τὰ βαΐα. 84
Εὐχὴ ἐπὶ ἐνάρξει Λιτῆς. 84
Εὐχὴ ἐκτενὴς γινομένη ἐν τῷ φόρῳ. 85
Εὐχὴ λεγομένη ἐν Λιτῇ γινομένῃ διὰ φόβον εἰς τὸν Κάμπον εἰς τὸν ἅγιον Διομήδην ἐξώπορτα, καὶ εἰς τὴν παλαιὰν πέραν. 85
Τάξις γινομένη ἐν τῷ Τριβουναλίῳ ἐν ταῖς ἐξ ἔθους ἀπερχομέναις ἐκεῖσε Λιταῖς. 86
Εὐχὴ ἐπὶ Λιτῇ ἐν ἡμέρᾳ Ἑορτῆς. 87
Εὐχὴ εἰς τὴν [illegible] τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, ποίημα τοῦ ἁγιωτάτου Πατριάρχου Καλλίστου. [illegible]
Εὐχὴ γινομένη ἐν τῷ δρόμωνι ὑπὸ τοῦ Πατριάρχου. 89
Εὐχὴ ἐπὶ Χελανδίῳ ἀποστελλομένῳ κατὰ πόλεως. 89
Εὐχὴ γινομένη ἐν τῷ μεγάλῳ Σεκρέτῳ ἀπιόντος τοῦ Πατριάρχου πρὸς ὁδοιπορίαν, ἢ ἐπανιόντος. 90
Εὐχὴ ἐπὶ ἀποστάντι ἐκ παιδόθεν, ἤγουν μαγαρίσαντι, καὶ μετανοοῦντι. 90
Ὅπως δεῖ δέχεσθαι τοὺς ἀπὸ αἱρέσεων μετερχομένους ἐν τῇ ἁγίᾳ τοῦ Θεοῦ καθολικῇ καὶ ἀποστολικῇ Ἐκκλησίᾳ. 92
Τάξις γινομένη ἐπὶ τοῖς ἀπὸ Μανιχαίων ἐπιστρέφουσι. 94
Ἀπόταξις, καὶ σύνταξις γινομένη τῇ παρασκευῇ τοῦ Πάσχα. 96
Πῶς δεῖ δέχεσθαι τὸν ἐξ Ἑβραίων τῇ τῶν Χριστιανῶν πίστει προσερχόμενον. 100
Εὐχὴ εἰς τὸ ποιῆσαι Ἐθνικὸν κατηχούμενον. 102
Εὐχὴ ἐπὶ τὸ ἀναδήσασθαι κεφαλὴν γυναῖκα. 102
Εὐχὴ εἰς γυναῖκα λεχὼ τῇ πρώτῃ ἡμέρᾳ τῆς γεννήσεως αὐτῆς. 103
Εὐχὴ ἑτέρα πρὸς τὰς λοιπὰς παρεστώσας γυναῖκας. 103
Εὐχὴ εἰς γυναῖκα λεχὼ εἴκοσιν, ἢ δεκαπέντε ἡμερῶν. 104
Εὐχὴ ἐν τῷ τάφῳ ἡνίκα βάλλῃ μύρον, ἢ ἔλεον σταυροειδῶς ῥίπτομεν ἐπάνω τοῦ λειψάνου. 104

Εὐ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Εὐχὴ ἐπιτάφιος καθολική. 105
Εὐχὴ εἰς ἀγάπην καὶ ὁμόνοιαν ἐξ ἔχθρας τινός. 105
Εὐχὴ τῆς Μετάξης, εἴτε σηρικῆς πλοκῆς. 105

ΒΙΒΛΙΟΘΗΚΗ
ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ
ΛΑΥΡΙΩΤΟΥ
ΑΥΞΩΝ ΑΡΙΘ.

Τέλος τοῦ Πίνακος, καὶ
τῷ Θεῷ δόξα.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ